Agenor [191]) angetrieben [192]) hätte. — Wenn [193]) dir der Schlucken [194]) durch das Athemhalten [195]) vergeht [196]), so ist's gut; wenn nicht, so gurgle [197]) dich mit Wasser. — Auch du stimmst damit überein, indem du sagst, daß du glaubest, dieß verhalte sich so. — Wir wunderten uns, daß Sokrates, da das Gericht früher [198]) Statt [199]) gefunden hatte, offenbar viel später starb. — Viele werden von mir denken [200]), daß ich, ob ich dich gleich hätte retten können [201]), es vernachlässigt hätte. — Es kömmt [202]) ein Mann zu Xenophon, der sagt, daß er die Sprache dieser Menschen zu verstehen [203]) glaube. — Cyrus sagte zu den Chaldäern, daß er nicht um [204]) sie zu vernichten käme. — Es wird einer zum König gewählt, nicht damit er für sich selber wohl sorge, sondern damit auch die Wählenden durch ihn sich wohl befinden [205]). — Die Häuser sind eben dafür [206]) gebaut, daß sie denen, die darin wohnen [207]) wollen [208]), so nützlich [209]) als möglich seyn sollen. — Wir wollen ihre Dörfer verbrennen, damit sie nicht fröhlich sind [210]), sondern, indem sie ihr Unglück [211]) sehen, niedergeschlagen [212]) werden. — Damit ich auch die Edlen und Guten kennen lernte [213]), wünschte ich sehr mit einem von ihnen zusammen zu kommen [214]). — Apollo selbst stand bey [215]) Agenor, um das schwere Verhängniß [216]) des Todes von ihm fern [217]) zu halten. — Agamemnon hieß den Greisen sich entfernen, damit er wohlbehalten [218]) nach Hause käme. — Es bemühen [219]) sich die Lacedämonier weit mehr darum [220]), daß sie herrschen, als daß sie des Herrschens [221]) würdig sind. — Alle sind bereit zu bewirken, daß ihr euch täglich in den schrecklichsten Gefahren befindet. — Es sollte [222]) darüber [223]) ein Gesetz existiren, damit nicht viele Mühe [224]) für nichts [225]) verwendet [226]) würde. — Warum hast du mich nicht gleich

---

191) Ἀγήνωρ, ορος. 192) ἀνίημι. 193) ἐὰν μέν. 194) λύγξ, ἡ. 195) ἄπνευστι ἔχοντι. 196) παύεσθαι θέλω. 197) ἀνακογχυλιάζω. 198) πάλαι. 199) γίγνομαι. 200) δοκέω. 201) οἷός τ' εἰμι. 202) παρέρχομαι. 203) γιγνώσκω. 204) ἐπιθυμέω. 205) εὖ πράττω. 206) πρὸς αὐτὸ τοῦτο. 207) εἰμί. 208) μέλλω. 209) σύμφορος, ον. 210) εὐφραίνομαι. 211) κακόν. 212) ἀνιάομαι. 213) ἐπισκέπτομαι. 214) συγγίγνομαι. 215) παρὰ, D. 216) βαρείας Κῆρας. 217) ἀλάλκω. 218) σῶς. 219) πραγματεύομαι. 220) τοῦτο. 221) τούτου. 222) χρῆ. 223) περὶ τούτου. 224) σπουδή. 225) εἰς ἄδηλον. 226) ἀναλίσκω.

getödtet, auf daß ich den Menschen nie gezeigt hätte, woher ich stamme [227]). — Ich habe dich absichtlich [228]) nicht geweckt, damit du süß fortschliefest [229]). — Athene selbst legte [230]) dem Telemachus Muth [231]) in das Herz [232]), auf daß er sie fragte über den abwesenden Vater, und daß er trefflichen [233]) Ruhm habe unter den Menschen. — Die Götter haben den Menschen Hände gegeben [234]), welche das meiste, wodurch wir glücklicher als die andern lebendigen Geschöpfe sind, ausrichten [235]). — Als ihr lerntet, wußtet ihr noch nicht das, was ihr lerntet. — Deßwegen ist die Lebensweise [236]) der Ackerbauer [237]) so angesehen [238]), weil sie die tapfersten und wohlgesinntesten Bürger dem Staate [239]) zu liefern [240]) scheint. — Die Elephanten sind so leicht zu zähmen [241]), daß sie auch nach [242]) einem Ziele werfen [243]) lernen. — In jeder Sache wollen die Menschen vornehmlich denen gehorchen, welche sie für die besten halten. — Wenn [244]) wir irgend einen Andern reden hören, da liegt wohl keinem was daran, hört aber einer den Sokrates, da sind wir erstaunt [245]). — Das geistige [246]) Auge [247]) fängt an scharf [248]) zu sehen [249]), wenn das körperliche [250]) Auge von seiner Kraft [251]) zu verlieren [252]) anfängt [253]). — Sokrates schien mir so zu seyn, wie wohl der beste und glücklichste Mann seyn mag. — Was Cyrus von Andern gefragt zu werden pflegte, darauf antwortete er schnell. — Ich erinnere mich, von dir gehört zu haben, daß mit Recht [254]) derjenige auch bey den Göttern, wie bey den Menschen, mehr ausrichte [255]), welcher nicht erst dann, wann er in Noth [256]) ist, ihnen zu schmeicheln pflege, sondern der auch im größten Glücke [257]) am meisten [258]) sich der Götter erinnerte. — Die Freunde des Sokrates warteten jedesmal [259]), bis das Gefängniß [260]) geöffnet wurde; wann es aber geöffnet wurde, gingen sie zum [261]) Sokrates. —

---

227) *γίνομαι.* 228) *ἐπιτηδές.* 229) *διάγω.* 230) *τίθημι ἐν*, wie pono. 231) *θάρσος.* 232) *φρένες, αἱ.* 233) *καλός.* 234) *προστίθημι.* 235) *ἐξεργάζομαι.* 236) *βιοτεία.* 237) *γεωργός.* 238) *ἔνδοξος, ον.* 239) *τὸ κοινόν.* 240) *παρέχομαι.* 241) *εὐτιθάσσευτος, ον.* 242) *ἐπί.* 243) *λιθάζω.* 244) *ὅταν.* 245) *ἐκπλήττω.* 246) *ἡ διανοία.* 247) *ὄψις, ἡ.* 248) *ὀξύ.* 249) *βλέπω.* 250) *τὸ ὄμμα.* 251) *ἀκμή.* 252) *λήγειν.* 253) *ἐπιχείρω.* 254) *εἰκότως.* 255) *πρακτικός.* 256) *ἐν ἀπόροις.* 257) *τὰ ἄριστα πράττω.* 258) *τότε μάλιστα — ὁπότε.* 259) *ἑκάστοτε.* 260) *δεσμωτήριον.* 261) *παρά* c. Acc.

VII.

Ueber den Infinitiv.

Amasis gab den Hellenen, die nach Aegypten kamen, die Stadt Naukratis [1]) zum Bewohnen [2]). — Der, welcher zum Herrschen erzogen [3]) wird, muß daran gewöhnt [4]) werden, daß er die Arbeit nicht scheut [5]). — Xenophon befahl zu den Göttern zu beten [6]), daß sie die Träume [7]) erfüllten [8]). — Als ich opferte, um gegen den König zu ziehen, sagten [9]) mir die Opfer [10]) nicht zu. — Du hältst dafür, man müsse den Schwächern geringere Arbeit auflegen [11]). — Einer der Wahrsager sagte, man müsse den Winden Opfer [12]) bringen. — Bevor der Reiche stirbt, halte zurück [13]), und nenne ihn nicht glücklich. — Wenn du irgend woher [14]) etwas Besseres zu bekommen weißt, so versuche [15]) es, auch mir davon mitzutheilen. — Wenn dir die lange Dauer [16]) der Arbeit beschwerlich fällt [17]), so beschuldige mich nicht deßwegen. — Das Geld vermag [18]) die Richter zu bestechen [19]). — Der Ackerbau schien sehr leicht zu erlernen und sehr angenehm auszuüben [20]). — Ich höre, daß die Athener stark [21]) seyen in dem Bestehlen der öffentlichen Kasse [22]). — Sokrates gehorchte den dreißig Tyrannen nicht, weil sie ihm etwas Widergesetzliches [23]) befahlen. — Die Thiere lernen das Gehorchen durch [24]) diese zwey Dinge: dadurch, daß [25]) sie, wenn sie ungehorsam seyn [26]) wollen [27]), gestraft werden, und dadurch, daß es ihnen wohl geht [28]), wenn sie gern [29]) gehorchen [30]). — Daß die Meisten nicht abgehärtet sind [31]) gegen Hitze und Kälte, scheint dir das nicht große Nachlässigkeit [32]).? — Die Freundschaft der Seele, weil sie

---

VII.

Ueber den Infinitiv.

1) *Ναύκρατις.* 2) *ἐνοικέω.* 3) *παιδεύω.* 4) *προςθετέον τῷ* ꝛc. 5) *φεύγω.* 6) *εὔχομαι.* 7) *ὀνείρατα, τά.* 8) *τελέω.* 9) *γίγνομαι.* 10) *τὰ ἱερά.* 11) *προστάττω πράγματα.* 12) *σφαγιάζομαι.* 13) *ἐπέχω.* 14) *ποθεν.* 15) *πειράομαι.* 16) *μῆκος, τό.* 17) *ἄχθομαι.* 18) *ἱκανόν ἐστι.* 19) *διαφθείρω.* 20) *ἐργάζομαι.* 21) *δεινός.* 22) *τὰ δημόσια.* 23) *παρὰ τοὺς νόμους.* 24) *ἐκ.* 25) *ἔκ τε τοῦ.* 26) *ἀπειθέω.* 27) *ἐπιχειρέω.* 28) *εὖ πάσχω.* 29) *προθύμως.* 30) *ὑπηρετέω.* 31) *ἀγυμνάστως.* 32) *ἀμέλεια.*

keusch [33]) ist, ist auch fern von Eckel [34]). — Die Perser glauben, daß die Undankbaren [35]) auch gegen [36]) die Götter, gegen die Aeltern und das Vaterland nachlässig [37]) sind. — Es ist ausgemacht [38]), daß kein Mensch den Tod auf edlere Weise [39]) ertragen habe, als Sokrates. — Die Samier kamen überein, daß sie, und zwar ein Jeder der Freien mit einem Kleide [40]), abziehen, und das Uebrige übergeben [41]) wollten. — Die Hellenen antworteten den Kolchiern [42]), so wie jene für den Raub der Io ihnen keine [43]) Strafe bezahlt hätten, so würden auch sie denselben keine bezahlen. — Dionysius sagte, er halte [44]) viele Sophisten, nicht weil er sie bewundere, sondern weil er von [45]) ihnen wolle bewundert werden. — Ich bitte dich, dieses Niemand zu sagen. — Zeus befahl mir zurückzukehren. — Ich bitte dich, unverdrossen [46]) zu seyn. — Viele Tyrannen sind vernichtet worden von solchen Genossen [47]), die am meisten schienen, ihre Freunde zu seyn. — Zeus versprach mir, daß ich Ilium zerstören [48]), und dann heimkehren werde. — Ich werde den Mitziehenden [49]) befehlen, sich auf das Bereitwilligste zu verhalten. — Dem, der wahre [50]) Tugend übt, ist es möglich [51]), ein Freund Gottes [52]) und unsterblich zu werden. —

VIII.

Ueber die Participien.

Frage, was du willst, ich werde die Wahrheit [1]) sagen [2]). — Die Karthager zogen [3]) unter Anführung Hannibals nach Sicilien, und nahmen [4]) in drey Monaten zwey Städte weg, Selinus [5]) und Himera [6]). — Thrasylus [7]) schiffte [8]) mit Anfang [9]) des Sommers nach Sa-

---

33) ἁγνός. 34) ἀκόρεστος, ον. 35) ἀχάριστος, ον. 36) περὶ c. A. 37) ἀμελῶς ἔχω. 38) ὁμολογεῖται. 39) κάλλιον. 40) ἱμάτιον. 41) παραδίδωμι. 42) Κόλχος. 43) οὐδὲ — οὐδέ. 44) τρέφω 45) διά, c. g. 46) πρόθυμος, ον. 47) ἕταιρος. 48) ἐκπέρθω. 49) εἶμι. 50) ἀληθής. 51) ὑπάρχω. 52) θεοφιλής. —

VIII.

Ueber die Participien.

1) το ἀληθές. Plur. 2) ἐρέω. Part. mit ὡς. 3) στρατεύω. Part. nach: ἐπί. 4) αἱρέω. Praes. 5) Σελινοῦς, οῦντος. 6) Ἱμέρα. 7) Θρασύλος. 8) ἐκπλέω. 9) ἄρχομαι.

mos; er blieb [10]) dort drey Tage, und schiffte nach Pygela [11]), und verwüstete [12]) das Land. Aus Milet [13]) aber kamen [14]) Einige den Pygelern [15]) zu Hilfe, und verfolgten die Leichtbewaffneten [16]) von den Athenern, welche zerstreut [17]) waren, die Peltasten aber, und zwey Abtheilungen [18]) Schwerbewaffneter kamen [19]) ihren Leichtbewaffneten zu Hilfe, und tödteten alle aus Milet, bis [20]) auf wenige, und nahmen ungefähr zweyhundert Schilde weg, und errichteten [21]) ein Siegeszeichen. — Erzähle [22]) nur geschwind [23]), wir werden, glaub' [24]) es sicher, ernstlich [25]) zuhören [26]). — Sie rüsteten sich, um [27]) den Feinden entgegen zu gehen. — Ich weiß [28]) nichts anders, als daß ich die Aufträge [29]), so gut als nur immer möglich, vollziehe [30]). — Seitdem [31]) sie diesen Kampf siegreich [32]) bestanden, bin ich stets [33]) in größtem [34]) Schrecken [35]). — O Zeus Tropaios [36]), möcht' ich niemals [37]) sehen [38]), daß du so verfährst [39]) mit [40]) meinem Stamm [41]). — Ich habe dieses zufällig [42]) von [43]) ihm erfahren. — Warum [44]) frägst du mich dieses immer [45])? — Als [46]) wäre es ihnen erlaubt [47]), nach Willkühr [48]) zu handeln, tödteten die dreyßig viele aus Feindschaft, viele des Geldes wegen. — Sie ließen [49]) die Männer zu Grunde gehen, und schifften eiligst davon. — Der Senat gab offenbar [50]) seinen Beyfall [51]), als Theramenes gesprochen hatte. — Höret auf, euch gegen das Vaterland zu vergehen [52]), und den dreißig Tyrannen zu gehorchen, da es euch gegönnt [53]), im Frieden den Staat [54]) zu verwalten. — Als [55]) Epaminondas gewahr [56]) wurde, daß Agesilaus im Anzuge [57]), und schon in Pellene [58]) sey, so führte er das Heer sogleich [59]) nach Sparta. —

---

10) Part. 11) *Πύγελα, τά.* 12) *δῃόω.* 13) *Μίλητος.* 14) Part. 15) *τοῖς Πυγελεῦσι.* 16) *ψιλός,* 3. — 17) *διασπείρω.* Part. 18) *λόχος.* 19) Part. 20) *ἐκτός.* 21) *ἵστημι.* 22) *διηγέομαι.* 23) *οὐκ ἂν φθάνοις.* 24) *ὡς.* 25) *οὐ παρέργως.* 26) *προσέχω.* 27) *ὡς.* 28) *ἔχω.* constr.: was ich anders vollziehen soll als. 29) *κελεύω.* 30) *πράττω.* 31) *ἐξ οὗ.* 32) *ὑπερτελής.* c. g. bestanden: *φύω.* 33) *ἔχω.* 34) *μάλιστα.* 35) *ταρβέω.* 36) *Τροπαῖος.* 37) *μήποτε.* 38) *εἰσείδω.* 39) *χωρέω.* 40) *πρός.* 41) *σπέρμα, τό.* 42) *τυγχάνω.* 43) *παρά.* 44) *εἰς τί δή.* 45) *ἔχω.* 46) *ὡς.* 47) *ἔξεστι.* Part. 48) zu thun, was sie wollten. 49) *προίημι.* 50) *δῆλός εἰμι.* 51) *εὐμενῶς ἐπιθορυβέω.* 52) *ἁμαρτάνω.* 53) *ἔξεστι,* Part. 54) *πολιτεύομαι.* 55) *ἐπεί.* 56) *αἰσθάνομαι.* 57) *ἐκστρατεύω.* 58) *Πελλήνη.* 59) *εὐθύς.*

Als [60] die Feinde schon ganz sichtbar [61] heranrückten [62], so baten [63] die Mantineer [64] die athenischen Reiter, zu Hilfe zu kommen, wenn sie könnten. — Diejenigen, welche aus Neigung [65] unter dem Gesetze [66] stehen, diese handeln [67] immerdar [68] ohne [69] erkünstelte [70] Schmeicheley. — Wenn [71] wir die Feinde zuerst [72] tödten, so wird keiner von uns sterben. — Du setzest [73] meine Lebensweise [74] herunter, als ob [75] ich nicht so [76] gesund [77] speisete [78]. — Wer könnte einen hassen, von dem er wüßte, daß er von ihm für einen guten und edlen Mann gehalten wird. — Ich bemerke, daß die Poeten glauben, durch die Poesie seyen sie auch in andern Dingen die weisesten Menschen. — Es ist für den Dieb eins [79], ob er wenig oder viel [80] nimmt. — Ich hörte, daß Ischomachus von allen ein edler und guter Mann genannt werde. — Es ist schimpflich, das Leichte nicht zu wissen, zumal wenn es gerade nützlich ist. — Zufällig war gerade am Tage vor der Verurtheilung [81] des Sokrates das Schiff [82] bekränzt worden, so die Athener nach Delos schickten. — Die Cikaden sangen und dachten nicht [83] an Speise und Trank, und starben sich selber unvermerkt. — Wenn der Markt mit Menschen angefüllt war, war Sokrates daselbst sichtbar. — Als das Volk gegen die Gesetze neun Feldherren durch Einen Beschluß zum Todte verdammen [84] wollte [85], wollte Sokrates es nicht genehmigen [86], obgleich das Volk über ihn erzürnte, und viele Mächtige [87] ihm drohten. — Wenn [88] einer nicht die bürgerlichen Tugenden [88] hat, so zürnt ihn Jeder, gleich als wenn [89] sie durch [90] Sorgfalt und fleißiges Lernen [91] zu erwerben [92] wären. — Ich halte mich fertig [93], auf daß ich von dir keinen Schaden [94] leide, da [95] ich dir schon vieles Unrecht zugefügt [96]. — Als die Perser mit gesammter Macht [97] kamen, wagten es

---

60) ἐπεί. 61) δῆλός εἰμι. 62) προσελαύνω. 63) δέομαι. 64) οἱ Μαντινεῖς. 65) μετὰ πειθοῦς. 66) ὑπακούω. Part. 67) δράω. 68) διατελέω. 69) ἔξω. 70) ποςποίητος, ον. 71) ἤ. 72) φθάνω, Fut. 73) φαυλίζω. 74) δίαιτα. 75) ὡς. 76) ἧττον. 77) ὑγιεινός. 78) ἐσθίω. 79) οὐδὲν διαφέρει. 80) μέγα ἢ σμικρόν. 81) δίκη. 82) ἡ πρύμνα. 83) ἀμελέω. 84) ἀποκτείνω. 85) ἐπιθυμέω. 86) ἐπιψηφίζω. 87) δυνατός. 88) πολιτικός. 89) ὡς. 90) ἐκ. 91) μάθησις. 92) κτητός. 93) ἐκποδὼν ἔχω ἐμαυτόν. 94) πάσχω. 95) ὡς 96) ἀδικέω. 97) παμπληθεῖ στόλῳ.

die Athener, sich ihnen entgegen zu stellen [98]), und besiegten sie. — Da ich dir Gefälligkeiten erzeigte [99]), so mußt [100]) du mir Gefälligkeiten [101]) erwiedern. — Nach Verlauf [102]) des Jahres bewirkten [103]) die Ephoren wieder einen Zug [104]) gegen Elis [105]). — Als Phrynichus [106]) das Drama [107]), die Einnahme [108]) von Milet, verfertigt hatte [109]) und aufführte [110]), vergossen [111]) die Zuschauer [112]) Thränen, und die Athener straften [113]) ihn. — Das würde gegen [114]) meine Hoffnung geschehen [115]). — Du scheinst mir nicht Recht [116]) daran zu thun [117]), daß du dich selbst verräthst, da es dir erlaubt wäre, dich zu retten. — Nun geschieht von allen dem nichts, da es doch am aliernothwendigsten [118]) wäre. — Ob ihnen gleich eine günstige [119]) Gelegenheit zur Schlacht [120]) sich darbot, so zogen sie ab, ohne etwas [121]) gethan [122]) zu haben. — Da es ihm aufgetragen [123]) war, in vier Monaten die Gesetze des Solon niederzuschreiben [124]), machte [125]) er sich selbst zum Gesetzgeber. — Sollen wir ihnen das Leben verschlimmern [126]), da ein besseres ihnen möglich [127]) wäre? — Die Väter halten ihre Söhne von schlechten Menschen fern, weil [128]) ihr Umgang [129]) die Zerstörung [130]) der Tugend ist. — Ihre Brüder vernachlässigen die Menschen, gleich als ob aus diesen keine Freunde würden. — Sokrates bat [131]) die Götter blos darum [132]), daß sie ihm das Gute verleihen möchten, weil die Götter am besten [133]) wissen, was gut ist. — Die Stiere begraben die Aegyptier in den Vorstädten [134]), so daß [135]) ein [136]) Horn oder auch beyde hervor sehen [137]). —

---

98) *ὑφίστημι.* 99) *ποιέω.* 100) *ὀφείλω.* 101) *χρηστοῖς με ἀμείβεσθαι.* 102) *περίειμι.* 103) *φαίνω.* 104) *φρουρά.* 105) *Ἡλις.* 106) *Φρύνιχος.* 107) *δρᾶμα.* 108) *ἅλωσις.* 109) *ποιέω.* 110) *διδάσκω.* 111) *ἐμπίπτω εἰς δάκρυα.* 112) *τὸ θέατρον.* 113) *ζημιόω.* 114) *οὐκ ἔλπομαι.* 115) *γίγνομαι.* 116) *δίκαιον.* 117) *ἐπιχειρέω.* 118) *πάντων μάλιστα γίγνεσθαι δεῖ.* 119) *ἐν καλῷ παρατυγχάνει.* 120) *συμβάλλω.* 121) *οὐδέν.* 122) *δράω.* 123) *προστάσσω.* 124) *ἀναγράφω.* 125) *καθίστημι.* 126) *χεῖρον ποιεῖν.* 127) *δυνατός* 128) *ὡς.* 129) *ὁμιλία.* 130) *διάλυσις, ἡ.* 131) *εὔχομαι.* 132) *ἁπλῶς.* 133) *κάλλιστα.* 134) *προάστειον.* 135) Partic. 136) *τὸ ἕτερον.* 137) *ὑπερέχω.*

IX.

Ueber die Negationen.

Glaubt [1]) Jemand, daß sich dieses nicht so verhalte, der kann sich durch die Erfahrung [2]) leicht überführen [3]). — Solltet ihr nach allen meinen Anerbietungen [4]) noch sagen, ihr wäret bey allem guten Willen *) unfähig [5]), dieselben anzunehmen [6]), und mich also, ohne übel behandelt [7]) zu seyn, abweisen [8]) wollen [9]), mit dem Vorgeben, es scheine euch diese Freyheit nicht gefahrlos, und es sey billig, sie nur Jenen anzubieten [10]), welche sie annehmen können [11]), wider Willen aber sollte man sie Keinem aufdringen [12]), so nehme [13]) ich die Götter und Helden dieses Landes [14]) zu Zeugen, daß, wenn ich euch nicht überrede, ich euch durch Verheerungen [15]) eures Landes mit Gewalt dazu zwingen werde [16]). Daran glaube ich nicht ungerecht zu handeln, vielmehr dazu einen doppelten triftigen Grund [17]) zu haben. [18]). Und zwar von Seite der [19]) Lacedämonier, damit solche nicht, wenn ihr nicht beytretet [20]), bey aller guten Gesinnung [21]), sich durch euren den Atheniensern geleisteten Geldvorschuß [22]) gekränkt finden [23]) mögen, und dann auch in Ansehung [24]) der Griechen überhaupt, damit ihr sie nicht hindert [25]), von der Sklaverey [26]) frey zu werden [27]). Denn es wäre nicht billig [28]) gehandelt, und wir Lacedämonier sind nicht schuldig [29]), Leute zu befreyen, die es wegen [30]) Privateigennutz [31])

IX.

Ueber die Negationen.

1) δοκέω. 2) τὸ ἔργον. 3) ἐλέγχω. 4) προΐσχομαι. *) εὔνους. 5) ἀδύνατος. 6) wird nicht ausgedr. 7) κακόω. d. h. indem ihr nicht. 8) διωθέομαι. 9) ἀξιόω. 10) ἐπιφέρω. 11) δυνατός. 12) προσαναγκάζω. 13) ποιέομαι. 14) ἐγχώριος, ον. 15) δηόω. 16) βιάζεσθαι πειράομαι. 17) κατὰ δύο ἀνάγκας τὸ εὔλογον. 18) πρόςεστι. 19) gen. 20) προςάγω. Pass. Futur. 21) τῷ ὑμετέρῳ εὔνῳ. 22) τὰ ἀπὸ ὑμῶν χρήματα φερόμενα. 23) βλάπτω. 24) Nom. 25) κωλύω. Pass. 26) δουλεία. 27) ἀπαλλάσσω. 28) εἰκότως. wir würden ꝛc. 29) ὀφείλω. 30) αἰτία, ας. 31) das nicht gemeinsame

nicht wollen. — Man muß die Knaben dazu anleiten [32]), daß sie nie, weder dem Bürger, noch der Stadt etwas Böses zufügen [33]). — Aeneas fürchtete, die Achäer möchten den Leichnam des Freundes wegziehen [34]). — Ich fürchte, daß sie nicht das Wahre [35]) sagte. — Ich kann nicht umhin, den Sokrates zu loben. — Es ist unrecht, zu widersprechen, daß der, welcher dem Staate [36]) am meisten nützte, nicht auch des höchsten Lohnes würdig seyn sollte [37]). —

(κοινός) Gut. 32) παιδεύω. 33) ποιέω. 34) ῥύομαι. 35) νημερτής, ες. 36) τὸ κοινόν. 37) ἀξιοῦμαι μεγίστων.

Griechisch-deutsches Lesebuch.

I. Cäsars Bürgerkriege.

II. Schlacht am Granikus.

III. Schlacht bey Jssus.

IV. Schlacht bey Arbela.

V. Belagerung von Tyrus.

VI. Lebensbeschreibung Alexanders Severus.

I.

Cäsars Bürgerkriege.

Cap. I. Ὁ Καῖσαρ ἄρτι τὸν Ὠκεανὸν ἐκ Βρεττανῶν διεπεπλεύκει, καὶ ἀπὸ Κελτῶν τῶν ἀμφὶ τὸν Ῥῆνον τὰ ὄρη τὰ [1] Ἄλπεια διελθὼν σὺν πεντακισχιλίοις πεζοῖς καὶ ἱππεῦσι τριακοσίοις, κατέβαινεν ἐπὶ Ῥαβέννης, ἣ συναφής τε ἦν τῇ Ἰταλίᾳ, καὶ τῆς Καίσαρος ἀρχῆς τελευταία. Φιλοφρονησάμενος δὲ τὸν Κουρίωνα, καὶ χάριν ὑπὲρ τῶν γεγονότων ὁμολογήσας, ἐσκόπει περὶ τῶν παρόντων. Κουρίωνι μὲν δὴ συγκαλεῖν ἐδόκει τὸν στρατὸν ἅπαντα ἤδη, καὶ ἄγειν ἐπὶ Ῥώμης· Καίσαρι δ', ἔτι πειρᾶσθαι [2] διαλύσεων. Τοὺς οὖν φίλους ἐκέλευεν ὑπὲρ αὐτοῦ συμβῆναι, τὰ μὲν ἄλλα αὐτὸν ἔθνη καὶ στρατόπεδα ἀποθήσεσθαι, μόνα δ' ἕξειν δύο τέλη, καὶ τὴν Ἰλλυρίδα μετὰ τῆς ἐντὸς Ἄλπεων Γαλατίας, ἕως [3] ὕπατος ἀποδειχθείη. Καὶ Πομπηΐῳ μὲν ἀρκεῖν ἐδόκει. Κατακωλυόντων δὲ τῶν ὑπάτων, ὁ Καῖσαρ ἐπέστελλε τῇ βουλῇ, καὶ τὴν ἐπιστολὴν ὁ Κουρίων, τρισὶν ἡμέραις τριακοσίους ἐπὶ χιλίοις σταδίους δραμών, ἐπέδωκε [4] τοῖς νέοις ὑπάτοις, ἐσιοῦσιν ἐς τὸ βουλευτήριον τῇ νουμηνίᾳ [5] τοῦ ἔτους. Περιεῖχε δ' ἡ γραφὴ κατάλογόν τε σεμνὸν ὧν [6] ἐξ ἀρχῆς ὁ Καῖσαρ ἐπεπράχει, καὶ πρόκλησιν, ὅτι [7] θέλοι Πομπηΐῳ συναποθέσθαι [8], ἄρχοντος δ' ἔτι ἐκείνου οὔτε ἀποθήσεσθαι, καὶ τιμωρὸς αὐτίκα τε τῇ πατρίδι καὶ ἑαυτῷ κατὰ τάχος ἀφίξεσθαι. ἐφ' ᾧ δὴ σφόδρα πάντες ἀνέκραγον, ὡς ἐπὶ [9] πολέμου καταγγελίᾳ, διάδοχον εἶναι Λεύκιον Δομίτιον. Καὶ ὁ Δομίτιος εὐθὺς ἐξῄει μετὰ τετρακισχιλίων ἐκ καταλόγου.

Cap. II. Ἀντωνίου δὲ καὶ Κασσίου δημαρχούντοιν μετὰ Κουρίωνα, καὶ τὴν Κουρίωνος γνώμην ἐπαινούντοιν· ἡ βουλή,

I.

Cäsars Bürgerkriege.

1) §. 194. b. — 2) §. 215. — 3) §. 293. — 4) §. 282. — 5) §. 224, 6. — 6) §. 249. — 7) §. 299, 2. — 8) §. 282, A. 1. — 9) §. 344. —

φιλονεικότερον ἔτι, τὴν Πομπηΐου στρατιὰν φύλακα σφῶν ἡγοῦντο εἶναι, τὴν δὲ Καίσαρος πολεμίαν. καὶ οἱ ὕπατοι, Μάρκελλός τε καὶ Λέντλος, ἐκέλευον τοῖς ἀμφὶ [10]) τὸν Ἀντώνιον ἐκστῆναι τοῦ συνεδρίου, μή [11]) τι καὶ δημαρχοῦντες ὅμως πάθοιεν ἀτοπώτερον. Ἔνθα δὴ μέγα βοήσας ὁ Ἀντώνιος, ἀνά τε ἔδραμε τῆς ἕδρας σὺν ὀργῇ, καὶ περὶ τῆς ἀρχῆς ἐπεθείαζεν [12]) αὐτοῖς, ὡς ἱερὰ καὶ ἄσυλος οὖσα ὑβρίζοιτο· καὶ περὶ σφῶν, ὅτι γνώμην ἐσφέροντες ἣν δοκοῦσι συνοίσειν, ἐξελαύνοιντο σὺν ὕβρει, μήτε τινὰ σφαγὴν μήτε μῦσος ἐργασάμενοι. Ταῦτα δ' εἰπὼν, ἐξέτρεχεν, ὥσπερ ἔνθους, πολέμους καὶ σφαγὰς καὶ προγραφὰς καὶ φυγὰς καὶ δημεύσεις, καὶ ὅσα ἄλλα αὐτοῖς ἔμελλεν ἔσεσθαι, προθεσπίζων, ἀράς τε βαρείας τοῖς τούτων αἰτίοις [13]) ἐπαρώμενος. Συνεξέθεον δ' αὐτῷ Κουρίων τε καὶ Κάσσιος· καὶ γάρ τις ἤδη στρατὸς ἑωρᾶτο ἐκ Πομπηΐου περιϊστάμενος τὸ βουλευτήριον. Οἵδε μὲν δὴ τάχει πολλῷ πρὸς Καίσαρα, νυκτὸς [14]) αὐτίκα, λαθόντες ἐχώρουν [15]) ἐπὶ ὀχήματος μισθωτοῦ, θεραπόντων ἐσθῆτας ἐνδύντες. Καὶ αὐτοὺς, ἔτι ὧδε ἔχοντας [16]), ὁ Καῖσαρ ἐπεδείκνυ τῷ στρατῷ, καὶ ἠρέθιζε, λέγων· ὅτι καὶ σφᾶς, τοσάδε ἐργασαμένους, ἡγοῦνται πολεμίους· καὶ τοιούσδε ἄνδρας, ὑπὲρ αὐτῶν τι φθεγξαμένους, οὕτως ἐξελαύνουσιν αἰσχρῶς.

Cap. III. Ὁ μὲν δὴ πόλεμος ἑκατέρωθεν ἀνέῳκτο, καὶ κεκήρυκτο ἤδη σαφῶς. ἡ δὲ βουλὴ, νομίζουσα Καίσαρι τὸν στρατὸν ἀπὸ Κελτῶν σὺν χρόνῳ παρέσεσθαι, καὶ οὔποτε αὐτὸν ὁρμήσειν ἐπὶ τηλικοῦτον ἔργον σὺν ὀλίγοις, προσέτασσε Πομπηΐῳ τρισκαίδεκα μυριάδας Ἰταλῶν ἀγείρειν, καὶ μάλιστα αὐτῶν τοὺς ἐστρατευμένους, ὡς ἐμπειροπολέμους· ξενολογεῖν δὲ καὶ ἐκ τῶν περιοίκων ἐθνῶν ὅσα ἄλκιμα. χρήματα δ' ἐς τὸν πόλεμον αὐτῷ τά τε κοινὰ πάντα αὐτίκα ἐψηφίζοντο, καὶ τὰ ἰδιωτικὰ σφῶν ἐπὶ [17]) τοῖς κοινοῖς (εἰ δεήσειεν) εἶναι στρατιωτικά. ἔς τε τὰς πόλεις ἐφ' ἕτερα περιέπεμπον σύν τε ὀργῇ καὶ φιλονεικίᾳ, σπουδῆς οὐδὲν ἀπολείποντες ὀξυτάτης. Ὁ δὲ Καῖσαρ ἐπὶ μὲν τὸν ἑαυτοῦ στρατὸν περιπεπόμφει· χαίρων [18]) δ' ἀεὶ ταχυεργίας τε ἐκπλήξει, καὶ φόβῳ τόλμης μᾶλλον, ἢ παρασκευῆς δυνάμει, μετὰ τῶν πεντακισχιλίων ἔγνω προεπιχειρεῖν τοσῷδε πολέμῳ, καὶ φθάσαι τὰ εὔκαιρα τῆς Ἰταλίας.

Cap. IV. Τοὺς οὖν λοχαγοὺς αὐτῶν σὺν ὀλίγοις τοῖς μάλιστα εὐτολμοτάτοις, εἰρηνικῶς ἐσταλμένοις, προὔπεμπεν ἐσελθεῖν ἐς Ἀρίμινον, καὶ τὴν πόλιν ἄφνω καταλαβεῖν· ἡ δ' ἐστὶν Ἰταλίας

---

10) §. 190, 3. — 11) §. 290, 2. — 12) §. 275. — 13) §. 207, 7. — 14) §. 206, 7. — 15) §. 275. — 16) §. 337. — 17) d. h. außer den Staatsgeldern. — 18) §. 229, 7. —

πρώτη, μετὰ τὴν Γαλατίαν. Αὐτὸς δὲ περὶ ἑσπέραν, ὡς δὴ τὸ σῶμα ἐνοχλούμενος, ὑπεχώρησε τοῦ συμποσίου, τοὺς φίλους ἀπολιπὼν ἔτι ἑστιᾶσθαι, καὶ ζεύγους ἐπιβὰς, ἤλαυνεν ἐς τὸ Ἀρίμινον, ἑπομένων οἱ τῶν ἱππέων ἐκ διαστήματος. δρόμῳ δ' ἐλθὼν ἐπὶ τὸν Ῥουβίκωνα ποταμὸν, ὃς ὁρίζει τὴν Ἰταλίαν, ἔστη τοῦ δρόμου· καὶ ἐς τὸ ῥεῦμα ἀφορῶν, περιεφέρετο τῇ γνώμῃ, λογιζόμενος ἕκαστα τῶν ἐσομένων κακῶν, εἰ τόνδε τὸν ποταμὸν σὺν ὅπλοις περάσειε. καὶ πρὸς τοὺς παρόντας εἶπεν, ἀνενεγκών· Ἡ μὲν ἐπίσχεσις, ὦ φίλοι, τῆσδε τῆς διαβάσεως ἐμοὶ κακῶν [19] ἄρξει· ἡ δὲ διάβασις, πᾶσιν ἀνθρώποις. Καὶ εἰπὼν, οἷά τις ἔνθους, ἐπέρα σὺν ὁρμῇ, τὸ κοινὸν τόδε εἰπών· Ὁ κύβος ἀνεῤῥίφθω. Δρόμῳ δ' ἐντεῦθεν ἐπιὼν, Ἀρίμινόν τε αἱρεῖ περὶ ἕω, καὶ ἐς τὸ πρόσθεν ἐχώρει, φρούρια τοῖς ἐπικαίροις ἐφιστὰς, καὶ τὰ ἐν ποσὶν ἢ βίᾳ χειρούμενος ἢ φιλανθρωπίᾳ. Φυγαί τε καὶ μεταναστάσεις ἦσαν ἐκ πάντων χωρίων, ὡς [20] ἐν ἐκπλήξει, καὶ δρόμος ἀσύντακτος μετ' οἰμωγῆς· τό τε ἀκριβὲς οὐκ εἰδότες, καὶ τὸν Καίσαρα νομίζοντες μετὰ ἀπείρου στρατοῦ κατακράτος [21] ἐλαύνειν.

Cap. V. Ὧν [22] οἱ ὕπατοι πυνθανόμενοι, τὸν Πομπήϊον οὐκ εἴων ἐπὶ τῆς ἑαυτοῦ γνώμης ἐμπειροπολέμως εὐσταθεῖν [23], ἀλλ' ἐξώτρυνον ἐκπηδᾷν ἐς τὴν Ἰταλίαν καὶ στρατολογεῖν, ὡς [24] τῆς πόλεως καταληφθησομένης αὐτίκα. ἥ τε ἄλλη βουλὴ, παρὰ δόξαν αὐτοῖς ὀξείας τῆς ἐσβολῆς τοῦ Καίσαρος γενομένης, ἐδεδοίκεσαν, ἔτι ὄντες ἀπαράσκευοι· καὶ σὺν ἐκπλήξει μετενόουν, οὐ δεξάμενοι τὰς Καίσαρος προκλήσεις, τότε νομίζοντες εἶναι δικαίας, ὅτε σφᾶς ὁ φόβος ἐς τὸ εὔβουλον ἀπὸ τοῦ φιλονείκου μετέφερε. Τέρατά τε αὐτοῖς ἐπέπιπτε πολλὰ, καὶ σημεῖα οὐράνια. αἷμά τε γὰρ ἔδοξεν ὁ θεὸς ὗσαι, καὶ ξόανα ἱδρῶσαι, καὶ κεραυνοὶ πεσεῖν ἐπὶ νεὼς πολλοὺς, καὶ ἡμίονος τεκεῖν· ἄλλα τε πολλὰ δυσχερῆ προεσήμαινε τὴν ἐς ἀεί τῆς πολιτείας ἀναίρεσίν τε καὶ μεταβολήν. Εὐχαὶ δὲ, ὡς ἐπὶ φοβεροῖς, προὐγράφοντο· καὶ ὁ δῆμος, ἐν μνήμῃ τῶν Μαρίου καὶ Σύλλα κακῶν γιγνόμενος, ἐκεκράγει, Καίσαρα καὶ Πομπήϊον ἀποθέσθαι τὰς δυναστείας, ὡς ἐν τῷδε μόνῳ τοῦ πολέμου λυθησομένου, Κικέρων δὲ, καὶ πέμπειν ἐς Καίσαρα διαλλακτάς.

Cap. VI. Ἀντιπραττόντων δ' ἐς ἅπαντα τῶν ὑπάτων, Φαώνιος [25] μὲν, Πομπήϊον ἐπισκώπτων τοῦ ποτε λεχθέντος ὑπ' αὐτοῦ, παρεκάλει, τὴν γῆν πατάξαι τῷ ποδὶ, καὶ τὰ στρατόπεδα ἐξ αὐτῆς ἀναγαγεῖν. ὁ δὲ, Ἕξετε, εἶπεν, ἂν [26] ἐπακολουθῆτε

---

19) §. 218. — 20) wie es zu geschehen pflegt bey . . 21) §. 329. b. — 22) §. 212. — 23) firmis esse consiliis. — 24) §. 322. — 25) Favonius. — 26) st. ἐάν. — §. 291. —

μοι, καὶ μὴ δεινὸν ἡγῆσθε τὴν Ῥώμην ἀπολιπεῖν, καὶ εἰ τὴν Ἰταλίαν [27]) ἐπὶ τῇ Ῥώμῃ δεήσειεν. οὐ γὰρ τὰ χωρία καὶ τὰ οἰκήματα την δύναμιν ἢ τὴν ἐλευθερίαν εἶναι [28]) τοῖς ἀνδράσιν· ἀλλὰ τοὺς ἄνδρας, ὅπη ποτ' ἂν ὦσιν, ἔχειν ταῦτα σὺν ἑαυτοῖς, ἀμυνομένους δ' ἀναλήψεσθαι καὶ τὰ οἰκήματα. Ὁ μὲν δὴ, τοσάδε εἰπὼν, καὶ ἀπειλήσας τοῖς ἐπιμένουσιν, εἰ φειδοῖ χωρίων ἢ κατασκευῆς ἀπολελείψονται τῶν ὑπὲρ τῆς πατρίδος ἀγώνων, ἐξῄει [29]) τῆς τε βουλῆς καὶ τῆς πόλεως αὐτίκα ἐς τὴν ἐν Καπύῃ στρατιάν· καὶ οἱ ὕπατοι συνείποντο αὐτῷ. τοὺς δ' ἄλλους ἀπορία τε ἐς πολὺ κατεῖχε, καὶ διενυκτέρευον ἐν τῷ βουλευτηρίῳ μετ' ἀλλήλων. ἅμα δ' ἡμέρᾳ τὸ πλέον ὅμως ἐξῄει, καὶ ἐδίωκε τὸν Πομπήϊον.

Cap. VII. Ὁ δὲ Καῖσαρ ἐν Κορφινίῳ Λεύκιον Δομίτιον, τὸν ἐπιπεμφθέντα οἱ τῆς ἀρχῆς εἶναι διάδοχον, καταλαβὼν, οὐ πάντας ἀμφ' αὐτὸν ἔχοντα τοὺς τετρακισχιλίους, ἐπολιόρκει· καὶ οἱ τὸ Κορφίνιον οἰκοῦντες φεύγοντα τὸν Δομίτιον ἀμφὶ τὰς πύλας καταλαβόντες, τῷ Καίσαρι προσήγαγον. Ὁ δὲ τὴν μὲν στρατιὰν αὐτοῦ, προστιθεμένην οἱ, προθύμως ἐδέχετο, ἐς ἐρέθισμα τῶν ἄλλων· Δομίτιον δ' αὐτὸν ἀπαθῆ μετὰ τῶν ἑαυτοῦ χρημάτων μεθῆκεν ὅποι βούλοιτο ἀπιέναι· ἐλπίσας μὲν, ἴσως διὰ τὴν εὐποιΐαν παραμενεῖν, οὐ κωλύσας δ' ἐς Πομπήϊον ἰόντα. Γιγνομένων δὲ τούτων οὕτως ὀξέως, ὁ Πομπήϊος ἐς Νουκερίαν ἐκ Καπύης, καὶ ἐκ Νουκερίας ἐς Βρεντέσιον ἠπείγετο, ὡς [30]) τὸν Ἰόνιον διαβαλῶν ἐς Ἤπειρον, καὶ τοῦ πολέμου τὴν παρασκευὴν συστήσων ἐν αὐτῇ. ἔθνεσί τε πᾶσι καὶ στρατηγοῖς καὶ δυνάσταις καὶ βασιλεῦσι καὶ πόλεσιν ἔγραφε, κατὰ σπουδὴν ὅ τι δύναιτο ἕκαστος ἐς τὸν πόλεμον συμφέρειν. καὶ τάδε μὲν ἀθρόως ἐγίγνετο. ὁ δ' ἴδιος αὐτοῦ Πομπηΐου στρατὸς ἦν ἐν Ἰβηρίᾳ. καὶ παρασκευῆς εἶχεν, ὡς ὁρμήσων, ὅπη ποτ' ἂν αἱ χρεῖαι καλῶσιν. Αὐτὸς δ' ὁ Πομπήϊος τῶν ἀμφ' αὐτὸν ἤδη τελῶν τὰ μὲν ἔδωκε τοῖς ὑπάτοις προαπάγειν ἐς Ἤπειρον ἐκ Βρεντεσίου.

Cap. VIII. Οἱ μὲν δὴ μετὰ τῶν ὑπάτων διεπεπλεύκεσαν ἐς τὸ Δυῤῥάχιον· ὁ δὲ Πομπήϊος τὸν ὑπόλοιπον στρατὸν ἐς τὸ Βρεντέσιον ἀγαγὼν, τάς τε ναῦς ἀνέμενεν ἐπανελθεῖν, αἳ τοὺς ὑπάτους διέφερον, καὶ τὸν Καίσαρα ἐπελθόντα ἀπὸ τειχῶν ἠμύνετο, τήν τε πόλιν διετάφρευε· μέχρι καταπλεύσαντος αὐτῷ τοῦ στόλου, περὶ δείλην ἑσπέραν ἀπέπλευσε, τοὺς εὐτολμοτάτους ἐπὶ τῶν τειχῶν ὑπολιπών· οἳ καὶ αὐτοὶ νυκτὸς ἐρχομένης ἐξέπλεον οὐρίῳ πνεύματι. Καὶ Πομπήϊος μὲν ὧδε μετὰ τοῦ στρατοῦ παντὸς ἐς Ἤπειρον, ἐκλιπὼν τὴν Ἰταλίαν, διεπέρα. Ὁ δὲ Καῖ-

---

27) sc. ἀπολιπεῖν. — 28) §. 313, 2. — 29) §. 219. — 30) §. 322. —

σαρ ηπόρει μὲν, ὅπη τραπείη, καὶ ὅθεν 31) ἄρξαιτο τοῦ πολέμου, τὴν ὁρμὴν πανταχόθεν οὖσαν ἐς τὸν Πομπήϊον ὁρῶν. δείσας δὲ τοῦ Πομπηΐου τὸν ἐν Ἰβηρίᾳ στρατὸν, πολύν τε ὄντα, καὶ χρόνῳ γεγυμνασμένον, μὴ 32) οἱ διώκοντι τὸν Πομπήϊον κατόπιν ἐπιγένοιτο· τόνδε μὲν αὐτὸς ἔγνω προκαθελεῖν, ἐς Ἰβηρίαν ἐλάσας, τὴν δὲ δύναμιν ἐς πέντ᾽ ἐπιδιῄρει. καὶ τοὺς μὲν ἐν τῷ Βρεντεσίῳ, τοὺς δ᾽ ἐν Ὑδροῦντι κατέλιπε, τοὺς δ᾽ ἐν Τάραντι, φύλακας εἶναι τῆς Ἰταλίας. ἑτέρους δ᾽ ἔπεμπεν ἅμα Κοΐντῳ Οὐαλερίῳ, Σαρδὼ τὴν νῆσον καταλαβεῖν 33) πυροφοροῦσαν· καὶ κατέλαβον. Ἀσίνιός τε Πολλίων, ἐς Σικελίαν πεμφθεὶς, ἧς ἡγεῖτο Κάτων, πυνθανομένῳ τῷ Κάτωνι, πότερα τῆς βουλῆς ἢ τοῦ δήμου δόγμα φέρων ἐς ἀλλοτρίαν ἀρχὴν ἐμβάλλοι, ὧδε ἀπεκρίνατο· Ὁ τῆς Ἰταλίας κρατῶν ἐπὶ ταῦτά με ἔπεμψε. καὶ Κάτων μὲν τοσόνδε ἀποκρινάμενος, ὅτι φειδοῖ τῶν ὑπηκόων οὐκ ἐνταῦθ᾽ αὐτὸν ἀμυνεῖται, διέπλευσεν ἐς Κέρκυραν, καὶ ἐκ Κερκύρας ἐς Πομπήϊον.

Cap. IX. Ὁ δὲ Καῖσαρ, ἐς Ῥώμην ἐπειχθεὶς, τόν τε δῆμον, ἐκ μνήμης τῶν ἐπὶ Σύλλα καὶ Μαρίου κακῶν πεφρικότα, ἐλπίσι καὶ ὑποσχέσεσι πολλαῖς ἀνελάμβανε 34)· καὶ τοῖς ἐχθροῖς ἐνσημαινόμενος φιλανθρωπίαν, εἶπεν, ὅτι καὶ Λεύκιον Δομίτιον ἑλὼν, ἀπαθῆ μεθείη μετὰ τῶν χρημάτων. Τὰ δὲ κλεῖθρα τῶν δημοσίων ταμιείων ἐξέκοπτε, καὶ τῶν δημάρχων ἑνὶ Μετέλλῳ κωλύοντι θάνατον ἠπείλει. τῶν τε ἀψαύστων ἐκίνει 35) χρημάτων, ἅ φασιν ἐπὶ Κελτοῖς πάλαι σὺν ἀρᾷ δημοσίᾳ τεθῆναι, μὴ 36) σαλεύειν ἐς μηδὲν, εἰ μὴ Κελτικὸς πόλεμος ἐπίοι. ὁ δὲ ἔφη, Κελτοὺς αὐτὸς ἐς τὸ ἀσφαλέστατον ἑλὼν, λελυκέναι 37) τῇ πόλει τὴν ἀράν. Λέπιδον δὲ Αἰμίλιον ἐφίστη τῇ πόλει, καὶ τὸν δήμαρχον Μάρκον Ἀντώνιον τῇ Ἰταλίᾳ καὶ τῷ περὶ αὐτὴν στρατῷ. ἔς τε τὰ ἔξω, Κουρίωνα μὲν ἀντὶ Κάτωνος ᾑρεῖτο ἡγεῖσθαι Σικελίας, Κόϊντον δὲ Σαρδοῦς, καὶ ἐς τὴν Ἰλλυρίδα Γάϊον Ἀντώνιον ἔπεμπε, καὶ τὴν ἐντὸς Ἄλπεων Γαλατίαν ἐπέτρεπε Λικινίῳ Κράσσῳ. Ἐκέλευσε 38) δὲ καὶ νεῶν στόλους δύο γίγνεσθαι κατὰ σπουδὴν, ἀμφί τε τὸν Ἰόνιον, καὶ περὶ Τυῤῥηνίαν· καὶ ναυάρχους αὐτοῖς, ἔτι γιγνομένοις, ἐπέστησεν Ὁρτήσιόν 39) τε καὶ Δολοβέλλαν.

Cap. X. Οὕτω κρατυνάμενος ὁ Καῖσαρ ἄβατον Πομπηΐῳ γενέσθαι τὴν Ἰταλίαν, ἐς Ἰβηρίαν ᾔει· ἔνθα Πετρηΐῳ καὶ Ἀφρανίῳ τοῖς Πομπηΐου στρατηγοῖς συμβαλὼν, ἧσσον αὐτῶν ἐφέρετο τά 40) γε πρῶτα· μετὰ δὲ, ἀγχωμάλως ἀλλήλοις ἐπολέμουν

---

31) §. 308, 2. — 32) §. 307. — 33) §. 310, 1. — 34) cf. X. H. Gr. VI, 5, 21. — 35) §. 212. — 36) §. 332, II. — 37) §. 276. — 38) §. 310, 4. A. 4. — 39) Hortensius. — 40) §. 189, 2. —

ἀμφὶ πόλιν Ἰλέρδην. καὶ στρατοπεδεύων ὁ Καῖσαρ ἐπὶ κρημνῶν, ἐσιτολόγει διὰ γεφύρας τοῦ Σικόριος ποταμοῦ. χειμάῤῥου δ' ἄφνω τὴν γεφύραν καταβαλόντος, ἀνδρῶν τε πλῆθος ἀποληφθὲν ἐν τῇ περαίᾳ διέφθειραν οἱ περὶ τὸν Πετρήϊον. καὶ ὁ Καῖσαρ αὐτὸς ἐμόχθει μετὰ τοῦ ἄλλου στρατοῦ πάνυ καρτερῶς, ὑπό τε δυσχωρίας καὶ ὑπὸ λιμοῦ καὶ χειμῶνος ἤδη καὶ πολεμίων, οὐδέν τε ἄλλ' ἢ πολιορκίας ἔργον ἦν. μέχρι, θέρους ἐπελθόντος, ὁ μὲν Ἀφράνιος καὶ ὁ Πετρήϊος ἐς τὴν ἐντὸς Ἰβηρίαν ἐχώρουν, ἕτερον στρατὸν ἀθροίσοντες. καὶ ὁ Καῖσαρ, ἀεὶ προλαμβάνων, διετάφρευε τὰς παρόδους, καὶ ἐκώλυεν ἐς τὸ πρόσθεν ἰέναι· καί τι καὶ μέρος αὐτῶν, προπεμπόμενον ἐς στρατοπέδου κατάληψιν, ἐκυκλώσατο. οἱ δὲ ἐπέθεσαν ταῖς κεφαλαῖς τὰς ἀσπίδας, ὅπερ ἐστὶ σύμβολον ἑαυτοὺς παραδιδόντων. καὶ ὁ Καῖσαρ οὔτε συνέλαβεν, οὔτε κατηκόντισεν, ἀλλὰ μεθῆκεν ἀπαθεῖς ἐς τοὺς περὶ τὸν Ἀφράνιον ἀπιέναι, δημοκοπῶν ἐς τοὺς πανταχοῦ πολεμίους. ὅθεν ἐν ταῖς στρατοπεδείαις ἐπιμιξίαι τε ἐς ἀλλήλους ἐγίγνοντο συνεχεῖς, καὶ λόγοι περὶ συμβάσεων κατὰ τὸ πλῆθος.

Cap. XI. Ἤδη δὲ καὶ τῶν ἡγεμόνων Ἀφρανίῳ μὲν καὶ ἑτέροις ἐδόκει, τῆς Ἰβηρίας ἐκστῆναι Καίσαρι, καὶ ἀπαθεῖς ἐς Πομπήϊον ἀπιέναι. Πετρήϊος δὲ ἀντέλεγε, καὶ περιθέων ἀνὰ τὸ στρατόπεδον, ἔκτεινεν ὅσους εὑρίσκοι κατὰ τὴν ἐπιμιξίαν τῶν Καίσαρος· τῶν τε ἰδίων ἡγεμόνων ἐνιστάμενόν τινα αὐτοχειρὶ διεχρήσατο. ἐξ ὧν ἔτι μᾶλλον ἀχθόμενοι τῷ σκυθρωπῷ τοῦ Πετρηΐου, ἐς τὸ φιλάνθρωπον τοῦ Καίσαρος ἐτρέποντο ταῖς γνώμαις. Ἐπεὶ [41]) δέ που καὶ τὴν ὑδρείαν αὐτῶν προὔλαβεν ὁ Καῖσαρ, ἐν ἀμηχάνῳ γενόμενος ὁ Πετρήϊος, ἐς λόγους τῷ Καίσαρι συνήει μετὰ Ἀφρανίου, ἐφορώντων αὐτοὺς τῶν στρατῶν ἑκατέρωθεν. Καὶ συνέβησαν, οἱ μὲν, ἐκστῆναι τῆς Ἰβηρίας τῷ Καίσαρι· ὁ δὲ Καῖσαρ, αὐτοὺς ἀπαθεῖς ἐπὶ τὸν Οὔαρον ποταμὸν διαγαγεῖν, καὶ ἀπὸ τοῦδε χωροῦντας ἐς Πομπήϊον ἐᾶν. Γενόμενος δ' ὁ Καῖσαρ ἐπὶ τοῦδε τοῦ ποταμοῦ, συνήγαγεν αὐτῶν ἐς ἐπήκοον ὅσοι ἦσαν ἔκ τε Ῥώμης καὶ Ἰταλίας, καὶ ἐδημηγόρησεν ὧδε· Ὑμῶν, ὦ πολέμιοι (τῷδε γὰρ ἔτι τῷ ῥήματι χρώμενος, ἐναργεστέραν ὑμῖν τὴν ἐμαυτοῦ γνώμην ποιήσω) οὔτε τοὺς προπεμφθέντας ἐς τὴν κατάληψιν τοῦ στρατοπέδου, οἳ σφᾶς ἐμοὶ παρέδοσαν, διέφθειρα· οὔτε τὸν ἄλλον ὑμῶν στρατὸν, λαβὼν τὰ ὑδρεύματα· Πετρηΐου ἐκ τῶν ἐμων τοὺς ὑπὲρ τὸν Σίκοριν ποταμὸν ἀποληφθέντας προανελόντος. εἰ δή τις ἐστί μοι παρ' ὑμῶν ὑπὲρ τούτων χάρις, φράζετε αὐτὰ τοῖς Πομπηΐου στρατιώταις ὕπασι. Τοσάδε εἰπὼν, τοὺς μὲν ἀπέλυεν ἀπαθεῖς, αὐτὸς δὲ τῆς

41) §. 292. —

Ἰβηρίας ἀπέφαινεν ἡγεῖσθαι Κάσσιον Κόϊντον. Καὶ τάδε μὲν ἦν ἀμφὶ τὸν Καίσαρα.

Cap. XII. *Λιβύης δὲ Οὔαρος Ἄττιος ἐστρατήγει τῷ Πομπηΐῳ, καὶ Ἰόβας ὁ τῶν Μαυρουσίων Νομάδων βασιλεὺς τῷ Οὐάρῳ συνεμάχει. Κουρίων δ' ὑπὲρ Καίσαρος αὐτοῖς ἐκ Σικελίας ἐπέπλει δύο τέλεσι στρατοῦ, καὶ ναυσὶ δυώδεκα μακραῖς, καὶ ὁλκάσι πολλαῖς. Ἰτύκῃ* 42) *δὲ προσχὼν, ἐν μέν τινι βραχείᾳ περὶ αὐτὴν ἱππομαχίᾳ τρέπεταί τινας τῶν Νομάδων ἱππέας· καὶ ὑπὸ τῆς στρατιᾶς, ἐν τοῖς ὅπλοις ἔτι οὔσης, Αὐτοκράτωρ ὑπέστη προσαγορευθῆναι. Ἔτι δὲ τοῦ Κουρίωνος ἐπιπλέοντος ἐκ Σικελίας, οἱ ἐν τῇ Λιβύῃ, νομίσαντες, αὐτὸν διὰ δοξοκοπίαν ἀμφὶ τὸν χάρακα τὸν Σκιπίωνος κατὰ δόξαν τῆς ἐκείνου μεγαλουργίας στρατοπεδεύσειν, τὸ ὕδωρ ἐφάρμαξαν. καὶ ἐλπίδος οὐ διήμαρτον* 43). *ὅ τε γὰρ Κουρίων ἐστάθμευσεν ἐνταῦθα, καὶ ὁ στρατὸς εὐθὺς ἐνόσει· πιοῦσί τε τὸ βλέμμα ἀμαυρὸν ἦν, ὥσπερ ἐν ὁμίχλῃ, καὶ ὕπνος ἐπεγίγνετο σὺν κάρῳ· μετὰ δ' αὐτὸν ἔμετοι τροφῆς ποικίλοι, καὶ σπασμὸς ὅλου τοῦ σώματος. ὧν δὴ χάριν ὁ Κουρίων παρ' αὐτὴν Ἰτύκην μετεστρατοπέδευε, δι' ἕλους ἰσχυροῦ τε καὶ μακροῦ τὸν στρατὸν, ἀσθενῆ διὰ τὴν ἀῤῥωστίαν γεγονότα, ἄγων. Ὡς δὲ σφίσιν ἡ νίκη Καίσαρος ἡ περὶ τὴν Ἰβηρίαν ἀπηγγέλθη, ἀνεθάῤῥησάν τε, καὶ παρετάξαντο παρὰ τὴν θάλασσαν, ἐν βραχεῖ χωρίῳ. μάχης δὲ καρτερᾶς γενομένης, Κουρίωνος μὲν εἷς ἀνὴρ ἔπεσεν, Οὐάρου δὲ ἑξακόσιοι, καὶ κατετρώθησαν ἔτι πλείονες.*

Cap. XIII. *Ἰόβα δ' ἐπιόντος, δόξα ψευδὴς προσεπήδησεν, ἀμφὶ τὸν Βαγράδαν ποταμὸν οὐ πολὺ διεστῶτα ὑπεστροφέναι* 44) *τὸν Ἰόβαν, πορθουμένης αὐτοῦ τῆς ἀρχῆς ὑπὸ τῶν γειτόνων, Σαβούῤῥαν στρατηγὸν σὺν ὀλίγοις ἐπὶ τοῦ ποταμοῦ καταλιπόντα. καὶ τῷδε τῷ λόγῳ πίσυνος* 45) *ὁ Κουρίων, θέρους θερμοῦ περὶ τρίτην ὥραν ἡμέρας ἦγε τὸ κράτιστον τῆς στρατιᾶς ἐπὶ τὸν Σαβούῤῥαν, ὁδὸν ψαμμώδη καὶ ἄνυδρον· εἰ γάρ τι καὶ νᾶμα χειμέριον ἦν, ἐξήραντο ὑπὸ τῆς φλογὸς τοῦ ἡλίου. καὶ ὁ ποταμὸς ὑπό τε Σαβούῤῥα καὶ ὑπ' αὐτοῦ παρόντος κατείχετο τοῦ βασιλέως. σφαλεὶς* 46) *οὖν τῆς ἐλπίδος ὁ Κουρίων, ἐς λόφους ἀνέδραμεν, ὑπό τε καμάτου καὶ πνίγους καὶ δίψης ἐνοχλούμενος. ὡς δὲ αὐτὸν κατεῖδον οὕτως ἔχοντα οἱ πολέμιοι, τὸν μὲν ποταμὸν ἐπέρων ἐς μάχην ἐσκευασμένοι· καὶ ὁ Κουρίων κατέβαινεν ἀφρόνως μάλα καὶ καταφρονικῶς, ἀσθενῆ τὸν στρατὸν ἄγων. κυκλωσαμένων δ' αὐτὸν τῶν Νομάδων ἱππέων, ἐπὶ μέν τινα*

---

42) Utica. — 43) §. 213. — 44) d. h. in sein Reich. — 45) §. 225, 3. — 46) cf. not. 43). —

χρόνον ὑπεχώρει, καὶ ἐς βραχὺ συνεστέλλετο· ἐνοχλούμενος δὲ, ἀνέφευγεν αὖθις ἐς τοὺς λόφους. Ἀσίνιος μὲν δὴ Πολλίων, ἀρχομένου τοῦ κακοῦ, διέφυγεν ἐπὶ τὸ ἐν Ἰτύκῃ στρατόπεδον σὺν ὀλίγοις, μή τις ἐξ Οὐάρου γένοιτο πρὸς 47) τὴν δόξαν τῆς ἐνταῦθα 48) κακοπραγίας ἐπίθεσις. Κουρίων δὲ, φιλοκινδύνως μαχόμενος, σὺν ἅπασι τοῖς παροῦσιν ἔπεσεν, ὡς 49) ἐπὶ τῷ Πολλίωνι μηδένα ἄλλον ἐπανελθεῖν ἐς Ἰτύκην. Τοιοῦτον μὲν δὴ τὸ τέλος τῆς ἀμφὶ τὸν Βαγράδαν ποταμὸν μάχης ἐγένετο· καὶ ἡ κεφαλὴ τοῦ Κουρίωνος ἀποτμηθεῖσα, ἐς Ἰόβαν ἐφέρετο.

Cap. XIV. Ἐν δὲ τῷ περὶ τὴν Ἰτύκην στρατοπέδῳ τοῦ κακοῦ φανεροῦ γενομένου, Φλάμμας μὲν ὁ ναύαρχος αὐτίκα ἔφευγεν αὐτῷ στόλῳ πρίν 50) τινα τῶν ἐπὶ τῆς γῆς ἀναλαβεῖν. Ἀσίνιος δ' ἐς τοὺς παρορμοῦντας ἐμπόρους ἀκατίῳ διαπλεύσας, ἐδεῖτο 51) αὐτῶν ἐπιπλεῦσαί τε καὶ τὸν στρατὸν ἀναλαβεῖν. καί τινες ἐς τοῦτο νυκτὸς ἐπέπλευσαν. ἀθρόως δ' ἐσβαινόντων ἐκείνων, τά τε σκάφη κατεδύετο, καὶ τῶν ἀναχθέντων οἱ ἔμποροι τοὺς πολλοὺς, χρήματα φέροντας, ἕνεκα τῶν χρημάτων ἐς τὴν θάλασσαν ἐῤῥίπτουν. Καὶ τάδε μὲν ἦν ἀμφὶ τοὺς ἀναχθέντας· ἕτερα δ' ἐν τῇ γῇ, νυκτὸς ἔτι, περὶ τοὺς ὑπολειφθέντας ἐγίγνετο ὅμοια· καὶ μεθ' ἡμέραν 52) οἱ μὲν τῷ Οὐάρῳ σφᾶς παρέδοσαν. ὁ δὲ Ἰόβας ἐπελθὼν περιέστησεν αὐτοὺς περὶ 53) τὸ τεῖχος, καὶ ὡς λείψανα τῆς ἑαυτοῦ νίκης κατηκόντισεν, οὐδέν τι φροντίσας οὐδὲ Οὐάρου παρακαλοῦντος. Οὕτω μὲν δὴ τὰ σὺν Κουρίωνι ἐς Λιβύην ἐπιπλεύσαντα Ῥωμαίων δύο τέλη διώλετω ἅπαντα, καὶ ὅσοι μετ' αὐτῶν ἦσαν ἱππεῖς τε καὶ ψιλοὶ, καὶ ὑπηρέται τοῦ στρατοῦ. Ἰόβας δ' ἐς τὰ οἰκεῖα ἀνέστρεφε, μέγιστον ἔργον τόδε Πομπηΐῳ καταλογιζόμενος.

Cap. XV. Καὶ τῶν αὐτῶν ἡμερῶν Ἀντώνιός τε περὶ τὴν Ἰλλυρίδα ἡσσᾶτο ὑπὸ 54) Ὀκταουΐου, Πομπηΐῳ στρατηγοῦντος· καὶ στρατιὰ Καίσαρος ἄλλη περὶ Πλακεντίαν στασιάσασα, τῶν ἀρχόντων κατεβόησεν, ὡς ἔν τε τῇ στρατείᾳ βραδύνοντες, καὶ τὰς πέντε μνᾶς οὐ λαβόντες, ἥν τινα δωρεὰν αὐτοῖς ὁ Καῖσαρ ἔτι περὶ Βρεντέσιον ὑπέσχητο. ὧν ὁ Καῖσαρ πυθόμενος, ἐκ Μασσαλίας ἐς Πλακεντίαν ἠπείγετο συντόμως, καὶ ἐς ἔτι στασιάζοντας ἐπελθὼν, ἔλεγεν ὧδε· Τάχει μὲν ὅσῳ περὶ ἕκαστα χρῶμαι, σύνιστέ μοι, βραδύνει δ' ὁ πόλεμος οὐ δι' ἡμᾶς, ἀλλὰ διὰ τοὺς πολεμίους, ὑποφεύγοντας ἡμᾶς. ὑμεῖς δ' ἔν τε Γαλατίᾳ πολλὰ τῆς ἐμῆς ἀρχῆς 55) ὀνήμενοι, καὶ ἐς τόνδε τὸν πόλεμον ὅλον,

---

47) zufolge. — 48) §. 189. — 49) §. 310, 5. — 50) §. 297. — 51) §. 215. — 52. §. 331, 3, c) — bb). — 53) auf. — 54) §. 261. — 55) me duce. —

ουκ ἐς μέρος αὐτοῦ, μοὶ συνομόσαντες, ἐν μέσοις ἔργοις ἡμᾶς ἀπολείπετε, καὶ τοῖς ἄρχουσιν ἐπανίστασθε, καὶ προστάττειν ἀξιοῦτε παρ᾽ ὧν χρὴ προστάγματα λαμβάνειν. Μαρτυράμενος οὖν ἐμαυτὸν τῆς ἐς ὑμᾶς μέχρι δεῦρο φιλοτιμίας, χρήσομαι [56] πατρίῳ νόμῳ, καὶ τοῦ ἐνάτου τέλους, (ἐπειδὴ μάλιστα τῆς στάσεως κατῆρξε) τὸ δέκατον [57] διακληρώσω θανεῖν. Θρήνου δὲ ἀθρόως ἐξ ἅπαντος τοῦ τέλους γενομένου, οἱ μὲν ἄρχοντες αὐτοῦ προσπεσόντες ἱκέτευον· ὁ δὲ Καῖσαρ μόλις τε καὶ κατ᾽ ὀλίγον [58] ἐνδιδοὺς, ἐς τοσοῦτον ὅμως ὑφῆκεν, ὡς ἑκατὸν καὶ εἴκοσι μόνους (οἳ κατάρξαι μάλιστα ἐδόκουν) διακληρῶσαι, καὶ δυώδεκα αὐτῶν τοὺς λαχόντας ἀνελεῖν. τῶν δὲ δυώδεκα τῶνδε ἐφάνη τις οὐδ᾽ ἐπιδημῶν ὅτε ἡ στάσις ἐγίγνετο· καὶ ὁ Καῖσαρ τὸν ἐμφήναντα λοχαγὸν ἔκτεινεν ἀντ᾽ αὐτοῦ.

Cap. XVI. Ἡ μὲν δὴ περὶ Πλακεντίαν στάσις οὕτως ἐλέλυτο. Ὁ δὲ Καῖσαρ ἐς Ῥώμην παρῆλθε· καὶ αὐτὸν ὁ δῆμος πεφρικὼς ᾑρεῖτο δικτάτωρα, οὔτε τι τῆς βουλῆς ψηφιζομένης, οὔτε προχειροτονοῦντος ἄρχοντος. ὁ δὲ, εἴτε παραιτησάμενος τὴν ἀρχὴν, ὡς ἐπίφθονον, εἴτε οὐ χρῄζων, ἄρξας ἐπὶ ἕνδεκα μόνας ἡμέρας (ὧδε γάρ τισι δοκεῖ) ὑπάτους ἐς τὸ μέλλον ἀπέφηνεν ἑαυτόν τε καὶ Πούπλιον Ἰσαυρικόν. Ἡγεμόνας τε ἐς τὰ ἔθνη [59] περιέπεμπεν, ἢ ἐνήλλαττεν, ἐφ᾽ ἑαυτοῦ [60] καταλέγων· ἐς μὲν Ἰβηρίαν, Μάρκον Λέπιδον· ἐς δὲ Σικελίαν, Αὖλον Ἀλβῖνον· ἐς δὲ Σαρδὼ, Σέξτον Πεδουκαῖον· ἐς δὲ τὴν νεόληπτον Γαλατίαν, Δέκμον Βροῦτον. Τῷ δὲ δήμῳ λιμώττοντι σῖτον ἐπέδωκε· καὶ τοὺς φυγάδας δεομένῳ καταγαγεῖν συνεχώρησε, χωρὶς Μίλωνος. αἰτοῦσι δ᾽ αὐτοῖς καὶ χρεῶν ἀποκοπὰς, διά τε πολέμους καὶ στάσεις καὶ τὴν ἐκ τῶνδε τοῖς πιπρασκομένοις ἐποῦσαν εὐωνίαν, τὰς μὲν ἀποκοπὰς οὐκ ἔδωκε, τιμητὰς δὲ τῶν ὠνίων ἀπέφηνεν, οἷς ἔδει τοὺς χρήστας τοῖς δανείσασιν ἀντὶ τῶν χρημάτων διδόναι. Καὶ τάδε πράξας, περὶ χειμερίους τροπὰς περιέπεμπε τὸν στρατὸν ἀπαντᾶν ἐς τὸ Βρεντέσιον· αὐτός τε ἐξῄει, Δεκεμβρίου μηνὸς Ῥωμαίοις ὄντος, οὐκ ἀναμείνας οὐδὲ τῆς ἀρχῆς ἕνεκα τὴν νουμηνίαν τοῦ ἔτους πλησιάζουσαν. ὁ δὲ δῆμος εἵπετο, παρακαλῶν συμβῆναι Πομπηΐῳ· οὐ γὰρ ἄδηλον ἦν, ἐς μοναρχίαν τὸν νικῶντα τρέψεσθαι. Καὶ ὁ μὲν ὥδευεν οὐδὲν ἐλλείπων δυνατῆς ἐπείξεως.

Cap. XVII. Ὁ δὲ Πομπήϊος πάντα τὸν χρόνον τόνδε [61] ναῦς ἐποιεῖτο, καὶ στρατὸν αἰεὶ πλείονα καὶ χρήματα συνῆγε· καὶ τὰς ἐν τῷ Ἰονίῳ Καίσαρος τεσσαράκοντα ναῦς ἑλὼν, ἐφύλασ-

---

56) §. 229, 8. — 57) sc. μέρος. — 58) §. 330, 2) b, 4. — 59) in provincias. — 60) suo arbitrio. — 61) §. 230. —

σεν αὐτοῦ τὸν διάπλουν· τόν τε στρατὸν ἐγύμναζε, συντρέχων καὶ συνιππεύων, καὶ παντὸς ἐξάρχων [62]) πόνου παρ᾽ ἡλικίαν· ὅθεν αὐτῷ ῥαδίως εὔνοιά τε ἦν, καὶ συνέθεον ἐπὶ τὰ γυμνάσια Πομπηΐου πάντες, ὡς ἐπὶ θέαν. Ἦν δ᾽ ἐς τότε Καίσαρι μὲν δέκα τέλη πεζῶν, καὶ Κελτῶν ἱππεῖς μύριοι· Πομπηΐῳ δὲ πέντε μὲν ἐξ Ἰταλίας, δι᾽ ὧν τὸν Ἰόνιον διεπεπλεύκει, καὶ τούτοις ὅσοι συνετάσσοντο ἱππεῖς· ἐκ δὲ Παρθυαίων δύο, τῶν σὺν Κράσσῳ πεπολεμηκότων τὰ ὑπόλοιπα· καί τε μέρος ἄλλο τῶν ἐς Αἴγυπτον ἐσβαλόντων μετὰ Γαβινίου. σύμπαντα, ἀνδρῶν Ἰταλῶν ἕνδεκα τέλη, καὶ ἱππεῖς ἀμφὶ τοὺς ἑπτακισχιλίους. Σύμμαχοι δ᾽ ἐξ Ἰωνίας τε καὶ Μακεδονίας καὶ Πελοποννήσου καὶ Βοιωτίας, τοξόται τε Κρῆτες, καὶ σφενδονῆται Θρᾶκες, καὶ ὅσοι περὶ τὸν Πόντον βέλεσι χρῶνται· ἱππεῖς τέ τινες Κελτῶν, καὶ ἐκ Γαλατίας ἕτεροι τῆς ἑώας, Κομμαγηνοί τε ὑπ᾽ Ἀντιόχου πεμφθέντες, καὶ Κίλικες καὶ Καππαδόκαι, καὶ ἐκ τῆς βραχυτέρας Ἀρμενίας τινὲς, καὶ Παμφύλιοι καὶ Πισίδαι. ὧν οὐχ ἅπασιν ἐς μάχας, ἀλλ᾽ ἐς φρούρια καὶ ταφρείας καὶ τὴν ἄλλην ὑπηρεσίαν τοῦ Ἰταλικοῦ στρατοῦ, χρῆσθαι διενοεῖτο, ἵνα [63]) μηδένα τῶν Ἰταλῶν τοῦ πολέμου περισπῴη. καὶ τάδε μὲν ἦν αὐτῷ τὰ πεζά. Νῆες δὲ, μακραὶ μὲν ἐντελεῖς τοῖς πληρώμασιν, ἑξακόσιαι· καὶ τούτων ἐς ἑκατὸν Ῥωμαίων ἐπιβατῶν, αἳ καὶ μάλιστα προὔχειν ἐδόκουν. πολὺ δὲ ὁλκάδων καὶ σκευοφόρων ἄλλο πλῆθος. ναύαρχοί τε πολλοὶ κατὰ μέρη· καὶ ἐπ᾽ αὐτοῖς Μάρκος Βύβλος.

Cap. XVIII. Ὡς δέ οἱ πάντα ἦν ἕτοιμα, συναγαγὼν ὅσοι τε ἦσαν ἀπὸ τῆς βουλῆς καὶ ἀπὸ τῶν καλουμένων ἱππέων, καὶ τὸν στρατὸν ἅπαντα, ἐς ἐπήκοον, ἔλεξεν ὧδε· Καὶ Ἀθηναῖοι τὴν πόλιν ἐξέλιπον, ὦ ἄνδρες, ὑπὲρ ἐλευθερίας τοῖς ἐπιοῦσι πολεμοῦντες, οὐ τὰ οἰκήματα πόλιν, ἀλλὰ τοὺς ἄνδρας εἶναι νομίζοντες· (καὶ τόδε πράξαντες, ὀξέως αὐτὴν ἀνέλαβόν τε καὶ εὐκλεεστέραν ἀπέφηναν·) καὶ ἡμῶν αὐτῶν οἱ πρόγονοι, Κελτῶν ἐπιόντων, ἐξέλιπον τὸ ἄστυ, καὶ αὐτὸ ἀνεσώσατο ἐξ Ἀρδεατῶν Κάμιλλος ὁρμώμενος. πάντες τε οἱ εὖ φρονοῦντες, τὴν ἐλευθερίαν, ὅπη ποτ᾽ ἂν ὦσιν, ἡγοῦνται πατρίδα. ὃ καὶ ἡμεῖς ἐνθυμούμενοι, δεῦρο διεπλεύσαμεν, οὐ τὴν πατρίδα ἐκλιπόντες, ἀλλ᾽ ὑπὲρ αὐτῆς παρασκευασόμενοί τε καλῶς ἐνθάδε, καὶ ἀμυνούμενοι τὸν ἐκ πολλοῦ [64]) μὲν ἐπιβουλεύοντα αὐτῇ, διὰ δὲ τοὺς δωροδοκοῦντας τὴν Ἰταλίαν ἄφνω καταλαβόντα. ὃν ὑμεῖς μὲν ἐψηφίσασθε εἶναι πολέμιον· ὁ δὲ καὶ νῦν ἡγεμόνας ἐς τὰ ἔθνη τὰ ὑμέτερα περιπέμπει, καὶ τῇ πόλει τινὰς ἐφίστησι, καὶ ἑτέρους ἀνὰ τὴν Ἰταλίαν. τοσῇδε τόλμῃ τὸν δῆμον [65]) ἀφαιρεῖται τὴν ἡγεμονίαν. καὶ εἰ τάδε, πολεμῶν ἔτι, καὶ δεδιὼς,

---

62) er war selbst überall voran. — 63) §. 290. — 64) seit langer Zeit. — 65) §. 233, 1. —

καὶ δίκην σὺν θεῷ δώσων [66]), ἐξεργάζεται, τί χρὴ νικήσαντα προσδοκᾷν ἐκλείψειν ὠμότητος ἢ βίας; καὶ τάδε πράττοντι κατὰ τῆς πατρίδος σύνεισίν τινες ἐωνημένοι χρημάτων, ὧν ἐκεῖνος ἀπὸ τῆς ἡμετέρας Γαλατίας πεπόρισται, δουλεύειν ἀντὶ τῆς πρὸς αὐτὸν ἐκεῖνον [67]) ἰσονομίας αἱρούμενοι.

Cap. XIX. Ἐγὼ δ' οὐκ ἐξέλιπον, οὔτ' ἂν ἐκλίποιμι, τὸν μεθ' ὑμῶν καὶ ὑπὲρ ὑμῶν ἀγῶνα· ἀλλὰ καὶ στρατιώτην ἐμαυτὸν ὑμῖν καὶ στρατηγὸν ἐπιδίδωμι, καὶ εἴ τις ἐστί μοι πολέμων ἐμπειρία καὶ τύχη, ἀηττήτῳ μέχρι νῦν γενομένῳ, καὶ τάδε μοι πάντα τοὺς θεοὺς ἐς τὰ παρόντα συνενεγκεῖν εὔχομαι, καὶ γενέσθαι τῇ πατρίδι κινδυνευούσῃ, καθὰ καὶ περικτωμένῃ τὴν ἡγεμονίαν, αἴσιος [68]). Θαῤῥεῖν δὲ χρὴ τοῖς τε θεοῖς, καὶ αὐτῷ τῷ λογισμῷ τοῦ πολέμου, καλὴν καὶ δικαίαν ἔχοντι φιλοτιμίαν ὑπὲρ πατρίου πολιτείας· ἐπὶ δὲ τούτῳ, τῷ πλήθει τῆς παρασκευῆς, τῷ τε νῦν ὄντι ἡμῖν κατὰ γῆν καὶ κατὰ θάλασσαν, καὶ τῷ γιγνομένῳ τε ἀεὶ, καὶ προσεσομένῳ μᾶλλον, ἐπειδὰν τῶν ἔργων [69]) ἁψώμεθα. ὅσα γὰρ εἰπεῖν *) ἐπὶ τὴν ἕω καὶ τὸν Εὔξεινον πόντον ἔθνη, πάντα, Ἑλληνικά τε καὶ βάρβαρα, ἡμῖν σύνεστι· καὶ βασιλεῖς, ὅσοι Ῥωμαίοις ἢ ἐμοὶ φίλοι, στρατιὰν καὶ βέλη καὶ ἀγορὰν καὶ τὴν ἄλλην παρασκευὴν χορηγοῦσιν. Ἴτε οὖν ἐπὶ τὸ ἔργον, ἀξίως τῆς τε πατρίδος, καὶ ὑμῶν αὐτῶν, καὶ ἐμοῦ· καὶ τῆς Καίσαρος ὕβρεως μνημονεύοντες, καὶ ὀξέως ἐς τὰ παραγγελλόμενα χωροῦντες.

Cap. XX. Ὁ μὲν ὧδε εἶπεν· ὁ δὲ στρατὸς ἅπας, καὶ ὅσοι ἦσαν ἀμφ' αὐτὸν ἀπὸ τῆς βουλῆς, πολὺ καὶ γνωριμώτατον πλῆθος, εὐφήμουν ὁμοῦ, καὶ ἐκέλευον ἄγειν ἐφ' ὅ τι χρῄζοι. Ὁ δὲ (ἡγεῖτο γὰρ, δυσχεροῦς ἔτι τῆς ὥρας οὔσης καὶ τῆς θαλάσσης ἀλιμένου, μετὰ χειμῶνα ἐπιπλευσεῖσθαι τὸν Καίσαρα· ὕπατόν τε ὄντα, τὴν ἀρχὴν ἐν τοσῷδε διαθήσεσθαι) τοῖς μὲν ναυάρχοις προσέταττεν ἐπιτηρεῖν τὴν θάλασσαν· τὸν δὲ στρατὸν ἐς χειμασίαν [70]) ἐπιδιῄρει, καὶ περιέπεμπεν ἔς τε Θεσσαλίαν καὶ Μακεδονίαν. Καὶ Πομπήϊος μὲν οὕτω τοῦ μέλλοντος ἀμελῶς ἐτεκμαίρετο. Ὁ δὲ Καῖσαρ, ὥς μοι [71]) προείρητο, περὶ χειμερίους τροπὰς ἐς τὸ Βρεντέσιον ἠπείγετο, νομίζων τῷ ἀδοκήτῳ μάλιστα ἐκπλήξειν τοὺς πολεμίους. οὔτε δὲ ἀγορὰν, οὔτε παρασκευήν, οὔτε τὸν στρατὸν τὸν ἑαυτοῦ πάντα ἠθροισμένον ἐν τῷ Βρεντεσίῳ καταλαβὼν, τοὺς παρόντας ὅμως ἐς ἐκκλησίαν συναγαγὼν, ἔλεγεν·

---

66) i. q. poenas dare. — 67) cum eo ipso. — 68) d. h. möchte ich so glücklich seyn in der Vertheidigung des Vaterlandes, als ich in der Erweiterung seiner Herrschaft glücklich war. — 69) §. 212. — *) ut ita dicam. §. 338. — 70) d. h. er verlegte sie an verschiedene Orte ins Winterquartier. — 71) §. 261, 1. —

Cap. XXI. *Οὔτε τῆς ὥρας τὸ χειμέριον, ὦ ἄνδρες, οἳ περὶ τῶν μεγίστων ἐμοὶ συναίρεσθε, οὔθ᾽ ἡ τῶν ἄλλων βραδύτης ἢ ἔνδεια τῆς πρεπούσης παρασκευῆς, ἐφέξει με τῆς ὁρμῆς. ἀντὶ γὰρ πάντων ἡγοῦμαί μοι συνοίσειν τὴν ταχυεργίαν. Καὶ πρώτους ἡμᾶς, οἳ πρῶτοι συνεδράμομεν ἀλλήλοις, ἀξιῶ, θεράποντας μὲν ἐνταῦθα καὶ ὑποζύγια καὶ παρασκευὴν καὶ πάνθ᾽ ὑπολιπέσθαι, ἵνα ἡμᾶς αἱ παροῦσαι νῆες ὑποδέξωνται· μόνους δ᾽ εὐθὺς ἐμβάντας περᾷν, ἵνα τοὺς ἐχθροὺς* [72]) *διαλάθοιμεν· τῷ μὲν χειμῶνι τύχην ἀγαθὴν ἀντιθέντες, τῇ δ᾽ ὀλιγότητι τόλμαν, τῇ δ᾽ ἀπορίᾳ τὴν τῶν ἐχθρῶν εὐπορίαν, ἧς ἐστιν ἡμῖν εὐθὺς ἐπιβαίνουσιν ἐπὶ τὴν γῆν κρατεῖν, ἣν εἰδῶμεν ὅτι μὴ κρατήσασιν οὐδέν ἐστιν ἴδιον. Ἴωμεν* [73]) *οὖν ἐπὶ θεράποντάς τε καὶ σκευὴν καὶ ἀγορὰν τὴν ἐκείνων, ἕως χειμάζουσιν ἐν ὑποστέγοις. ἴωμεν, ἕως Πομπήϊος ἡγεῖται, κἀμὲ χειμάζειν, ἢ περὶ πομπὰς καὶ θυσίας ὑπατικὰς εἶναι. Εἰδόσι δ᾽ ὑμῖν ἐκφέρω, δυνατώτατον ἐν πολέμοις ἔργον εἶναι τὸ ἀδόκητον· φιλότιμον δὲ, καὶ πρώτιστον δόξαν ἀπενέγκασθαι τῶν ἐσομένων, καὶ τοῖς αὐτίκα διωξομένοις ἡμᾶς ἀσφαλῆ τὰ ἐκεῖ προετοιμάσαι. Ἐγὼ μὲν δὴ καὶ τόνδε τὸν καιρὸν πλεῖν ἂν, ἢ λέγειν, μᾶλλον ἐβουλόμην· ἵνα με Πομπήϊος ἴδῃ, νομίζων ἔτι τὴν ἀρχὴν ἐν Ῥώμῃ διατίθεσθαι. Τὸ δὲ ὑμέτερον εὐπειθὲς εἰδὼς, ὅμως ἀναμένω τὴν ἀπόκρισιν.*

Cap. XXII. *Ἀναβοήσαντος δὲ σὺν ὁρμῇ τοῦ στρατοῦ παντὸς, ἄγειν σφᾶς, εὐθὺς ἐπὶ τὴν θάλασσαν ἦγεν ἀπὸ τοῦ βήματος, πέντε πεζῶν τέλη, καὶ ἱππέας λογάδας ἑξακοσίους. καὶ ἐπ᾽ ἀγκυρῶν ἀπεσάλευε, κλυδωνίου διαταράσσοντος. χειμέριοι δ᾽ ἦσαν τροπαί· καὶ τὸ πνεῦμα ἄκοντα καὶ ἀσχάλλοντα κατεκώλυε, μέχρι* [74]) *καὶ τὴν πρώτην τοῦ ἔτους ἡμέραν ἐν Βρεντεσίῳ διατρίψαι. καὶ δύο τελῶν ἄλλων ἐπελθόντων, ὅδε καὶ τάδε προσλαβὼν ἀνήγετο χειμῶνος ἐπὶ ὁλκάδων· αἱ γὰρ ἦσαν αὐτῷ νῆες ὀλίγαι μακραὶ, Σαρδὼ καὶ Σικελίαν ἐφρούρουν. Ὑπὸ δὲ χειμώνων ἐς τὰ Κεραύνια ὄρη περιαχθεὶς, τὰ μὲν πλοῖα εὐθὺς ἐς Βρεντέσιον ἐπὶ τὴν ἄλλην στρατιὰν περιέπεμπεν· αὐτὸς δ᾽ ᾔει νυκτὸς ἐπὶ πόλιν Ὤρικον διὰ τραχείας ἀτραποῦ καὶ στενῆς, ἐς μέρη πολλὰ διασπώμενος ὑπὸ τῆς δυσχωρίας· ὡς εὐεπιχείρητος ἂν, εἴ* [75]) *τις ᾔσθετο, γενέσθαι. περὶ δὲ τὴν ἕω μόλις αὐτῷ συνῄει τὸ πλῆθος, καὶ ὁ φρούραρχος ὁ τῆς Ὠρίκου, τῶν ἔνδον αὐτῷ προειπόντων οὐ κωλύσειν ἐπιόντα Ῥωμαίων ὕπατον, τάς τε κλεῖς παρέδωκε τῷ Καίσαρι, καὶ παρ᾽ αὐτῷ κατέμεινε τιμῆς ἀξιούμενος. Λουκρήτιος δὲ καὶ Μινούκιος, ἐπὶ θάτερα τῆς Ὠρίκου ναυσὶν ὀκτωκαίδεκα μακραῖς Πομπηΐῳ σῖτον ἐν πλοίοις φυλάσσοντες, τά τε πλοῖα κατέδυσαν, ἵνα μὴ ὁ Καῖσαρ αὐτὰ λάβοι, καὶ ἐς Δυῤῥάχιον διέφυγον. Ἀπὸ δὲ τῆς Ὠρίκου, Καῖσαρ*

---

72) §. 232, 2. — 73) §. 288, b. — 74) so daß er. — 75) cf.

ἐς Ἀπολλωνίαν ἠπείγετο· καὶ τῶν Ἀπολλωνιατῶν αὐτὸν δεχομένων, Σταβέριος ὁ φρούραρχος ἐξέλιπε τὴν πόλιν.

Cap. XXIII. Καὶ ὁ Καῖσαρ, ἁλίσας τὸν ἑαυτοῦ στρατὸν, ἀνέμνησεν, ὅτι διὰ τὴν ταχυεργίαν τοῦ τε χειμῶνος σὺν τῇ τύχῃ περιγένοιντο, καὶ θαλάσσης τοσῆσδε χωρὶς νεῶν κρατήσειαν, Ὠρικόν τε καὶ Ἀπολλωνίαν ἀμαχεὶ λάβοιεν, καὶ τὰ τῶν πολεμίων ἔχοιεν, καθάπερ εἶπεν, ἀγνοοῦντος 76) ἔτι Πομπηΐου. Εἰ δὲ καὶ Δυῤῥάχιον, ἔφη, τὸ ταμιεῖον τῆς Πομπηΐου παρασκευῆς προλάβοιμεν, ἔσται πάντα ἡμῖν ἃ ἐκείνοις δι' ὅλου θέρους πεπονημένοις. Τοσαῦτα εἰπὼν, ἦγε συντόμως ἐπὶ τὸ Δυῤῥάχιον αὐτοὺς ὁδὸν μακρὰν, οὔτε ἡμέρας οὔτε νυκτὸς ἀναπαύων. Πομπήϊος δὲ προμαθὼν, ἀντιπαρώδευσεν ἐκ Μακεδονίας, σὺν ἐπείξει καὶ ὅδε πολλῇ, κόπτων τε τὴν ὕλην, ἣν παρώδευεν, ἵνα Καίσαρι δύσβατος εἴη, καὶ ποταμῶν γεφύρας διαιρῶν, καὶ ἀγορὰν τὴν ἐν μέσῳ πᾶσαν ἐμπιπράς· ἐν μεγίστῳ (καθάπερ ἦν) καὶ ὅδε τιθέμενος, τὴν ἑαυτοῦ παρασκευὴν 77) διαφυλάξαι. κονιορτὸν δ' ἢ πῦρ ἢ καπνὸν εἴ 78) ποτε μακρόθεν ἴδοιεν αὐτῶν ἑκάτεροι, νομίζοντες εἶναι τὰ ἀλλήλων, ἐφιλονείκουν ὡς ἐν ἀγῶνι δρόμου. καὶ οὔτε τροφῇ καιρὸν ἐδίδοσαν, οὔτε ὕπνῳ· ἔπειξις δ' ἦν καὶ σπουδὴ καὶ βοαὶ τῶν ἀγόντων αὐτοὺς ὑπὸ λαμπτῆρσι, καὶ θόρυβος ἐκ τοῦδε πολὺς καὶ φόβος, ὡς 79) τῶν πολεμίων αἰεὶ πλησιαζόντων. ὑπὸ δὲ καμάτου τινὲς ἀπεῤῥίπτουν ἃ ἔφερον, ἢ ἐν φάραγξι διαλαθόντες ὑπελείποντο, τὴν αὐτίκα 80) ἀνάπαυσιν τοῦ παρὰ τῶν ἐχθρῶν φόβου διαλλασσόμενοι.

Cap. XXIV. Τοιαῦτα δὲ ἑκατέρων κακοπαθούντων, προὔλαβεν ὅμως ὁ Πομπήϊος τὸ Δυῤῥάχιον, καὶ παρ' αὐτὸ ἐστρατοπέδευσεν. ναῦς τε ἐπιπέμψας, Ὤρικον αὖθις εἷλε, καὶ τὴν θάλασσαν ἀκριβεστέραις φρουραῖς ἐφύλασσεν. Ὁ δὲ Καῖσαρ, τοῦ Πομπηΐου τὸν Ἄλωρα ποταμὸν ἐν μέσῳ θέμενος, ἐστρατοπέδευσε. καὶ τὸν ποταμὸν διαβαίνοντες ἱππομάχουν ἀλλήλοις ἀνὰ μέρη. ἀθρόοις δὲ τοῖς στρατοῖς οὐ συνεπλέκοντο· Πομπήϊος μὲν, ἔτι γυμνάζων τοὺς νεοστρατεύτους· ὁ δὲ Καῖσαρ, τοὺς ἐκ Βρεντεσίου περιμένων. Νομίσας δ', ἔαρος μὲν αὐτοὺς ἐπὶ ὁλκάδων διαπλέοντας οὐ λήσειν τὰς τοῦ Πομπηΐου τριήρεις, θαμινὰ ἐς φυλακὴν ἀναπλεούσας· χειμῶνος δ' εἰ παραβάλλοιντο, ναυλοχούντων ἐς νήσους τῶν πολεμίων, λαθεῖν ἂν αὐτοὺς ἴσως, ἢ καὶ βιάσασθαι μεγέθει τε νεῶν καὶ πνεύματι· μετεπέμπετο κατὰ σπουδήν. Οὐκ ἀναγομένων δ' ἐκείνων, αὐτὸς ἔκρινεν ἐπὶ τὴν στρατιὰν διαπλεῦσαι λαθὼν, ὡς οὔ τινος αὐτὴν ἄλλου ῥᾳδίως ἐπαξομένου. καὶ τὸ βούλευμα ἐπικρύψας, ἔπεμπε τρεῖς θεράποντας ἐπὶ τὸν ποταμὸν, ἀπὸ δυώδεκα σταδίων ὄντα, οἶ

---

§. 291, 5. — 76) cf. §. 320. — 77) die ihm Cäsar zu entreißen suchte. — 78) §. 291, Anm. 5. — 79) §. 322. — 80) die baldige. —

κελήτιον ὀξὺ καὶ κυβερνήτην τὸν ἄριστον, ὡς δή τινι πεμπομένῳ πρὸς Καίσαρος, ἔμελλον ἑτοιμάσειν.

Cap. XXV. *Αὐτὸς δ' ἀπὸ διαίτης ὑπεχώρησε μὲν ὡς κάμνων τῷ σώματι, τοὺς φίλους ἔτι ἑστιᾶσθαι κελεύσας· ἐπιθέμενος δ' ἐσθῆτα ἰδιώτου; καὶ ὀχήματος εὐθὺς ἐπιβὰς, ἐξήλασεν ἐπὶ τὴν ναῦν ὡς ὅδε ὢν ὁ πρὸς τοῦ Καίσαρος ἀπεσταλμένος· τά τε λοιπὰ διὰ τῶν θεραπόντων προσέτασσεν, ἐγκεκαλυμμένος τε καὶ ἐν νυκτὶ μάλιστα ἀγνοούμενος. χειμερίου δὲ τοῦ πνεύματος ὄντος, θαῤῥεῖν ἐκέλευον οἱ θεράποντες τὸν κυβερνήτην; ὡς τῷδε μάλιστα λησόμενοι τοὺς πολεμίους ἐγγὺς ὄντας. τὸν μὲν δὴ ποταμὸν ὁ κυβερνήτης εἰρεσίᾳ βιαζόμενος ἔπλει. ὡς [81]) δ' ἐπὶ τὰς ἐκβολὰς ἀφίκετο, καὶ ἡ θάλασσα σὺν κλυδωνίῳ καὶ πνεύματι τὸ ῥεῦμα ἀνέκοπτεν, ὁ μὲν, ἐπισπερχόντων αὐτὸν τῶν θεραπόντων, ἐβιάζετο, καὶ ὡς ἐς οὐδὲν προκόπτων ἀπέκαμνε καὶ ἀπεγίγνωσκεν. Ὁ δὲ Καῖσαρ ἀποκαλυψάμενος [82]) ἐνεβόησεν αὐτῷ· Θαῤῥῶν ἴθι πρὸς τὸν κλύδωνα. Καίσαρα φέρεις, καὶ τὴν Καίσαρος τύχην. Ἐκπλαγέντων δὲ τῶν ἐρετῶν καὶ τοῦ κυβερνήτου, προθυμία πᾶσιν ἐνέπιπτε, καὶ ἡ ναῦς ὑπὸ βίας ἐξέπιπτε τοῦ ποταμοῦ. τὸ πνεῦμα δ' αὐτὴν καὶ τὸ κῦμα μετέωρον ἐς τὰς ὄχθας διεῤῥίπτει· μέχρι, πλησιαζούσης ἡμέρας, οἱ μὲν ἐδεδοίκεσαν, ὡς ἐν φωτὶ κατάδηλοι τοῖς πολεμίοις ἐσόμενοι· ὁ δὲ Καῖσαρ, τῷ δαιμονίῳ χαλεψάμενος ὡς φθονερῷ, ἐφῆκε τὴν ναῦν ἐπανιέναι. ἡ μὲν δὴ πνεύματι ταχεῖ τὸν ποταμὸν ἀνέπλει.*

Cap. XXVI. *Καίσαρα δ' οἱ μὲν ἐθαύμαζον [83]) τῆς εὐτολμίας, οἱ δ' ἐπεμέμφοντο, ὡς στρατιώτῃ πρέπον ἔργον εἰργασμένον, οὐ στρατηγῷ. Ὁ δ', οὐκέτι λήσεσθαι προσδοκῶν, Ποστούμιον ἀνθ' ἑαυτοῦ προσέταξε διαπλεῦσαί τε καὶ φράσαι Γαβινίῳ, τὸν στρατὸν εὐθὺς ἄγειν διὰ θαλάσσης· ἂν δ' ἀπειθῇ, ταῦτα προστάσσειν Ἀντωνίῳ· καὶ τρίτῳ μετὰ τὸν Ἀντώνιον Καληνῷ. Εἰ δ' οἱ τρεῖς ἀποκνοῖεν, ἐπιστολὴ πρὸς τὸν στρατὸν αὐτὸν ἐγέγραπτο ἄλλη, τὸν [84]) βουλόμενον αὐτῶν ἐπὶ τὰς ναῦς ἕπεσθαι τῷ Ποστουμίῳ, καὶ καταίρειν ἀναχθέντας ἐς χωρίον ἐς ὅ τι ὁ ἄνεμος ἐκφέρῃ, μηδὲν τῶν νεῶν [85]) φειδομένους. οὐ γὰρ νεῶν χρῄζειν Καίσαρα, ἀλλὰ ἀνδρῶν. Οὕτω μὲν, ἀντὶ λογισμῶν, ὁ Καῖσαρ ἐπεποίθει τῇ τύχῃ. Τάδε οὖν ὁ Πομπήϊος προλαβεῖν ἐπειγόμενος, ἐς μάχην διεσκευασμένος ἐπῄει. καὶ δύο αὐτοῦ στρατιωτῶν ἐν μέσῳ τὸν ποταμὸν ἐρευνωμένων, ᾗ μάλιστα εἴη διαβατὸς, τῶν τις Καίσαρος εἷς ἐπιδραμὼν τοὺς δύο ἀνεῖλε· καὶ ὁ Πομπήϊος ἀνέζευξεν, οὐκ αἴσιον τὸ συμβὰν ἡγούμενος. αἰτίαν δ' εἶχε παρὰ πᾶσι, καιρὸν ἄριστον ἐκλιπεῖν.*

---

81) §. 292. — 82) §. 265. — 83) cf. §. 206, 2. — 84) §. 188, a. — 85) §. 216. —

Cap. XXVII. *Ποστουμίου δὲ διαπλεύσαντος ἐς τὸ Βρεντέσιον, ὁ μὲν Γαβίνιος, οὐχ ὑποστὰς τὸ πρόσταγμα, ἦγε τοὺς βουλομένους διὰ τῆς Ἰλλυρίδος, οὐδαμοῦ διαναπαύων. καὶ ἀνῃρέθησαν ὑπὸ τῶν Ἰλλυριῶν σχεδὸν ἅπαντες· καὶ ὁ Καῖσαρ ἤνεγκεν, ὑπ' ἀσχολίας. Ὁ δ' Ἀντώνιος τοὺς ἑτέρους ἐπὶ τὰς ναῦς ἐπιβήσας, Ἀπολλωνίαν μὲν παρέπλευσεν, ἱστίοις ἐπιπνέοντος ἀνέμου. χαλάσαντος δὲ τοῦ πνεύματος περὶ μεσημβρίαν, εἴκοσι τοῦ Πομπηΐου νῆες ἐπ' ἔρευναν τῆς θαλάσσης ἀναχθεῖσαι, καθορῶσι τοὺς πολεμίους, καὶ ἐδίωκον, τοῖς δὲ, ὡς ἐν γαλήνῃ, δέος ἦν πολὺ, μὴ σφᾶς ἀνατρήσειαν ἢ καταδύσειαν αἱ μακραὶ τοῖς ἐμβόλοις. καὶ τὰ εἰκότα παρεσκευάζοντο, σφενδόναι τε ἠφίεντο ἤδη καὶ βέλη· καὶ ὁ ἄνεμος ἄφνω μείζων ἢ πρότερον ἐπέῤῥαξεν. Αἱ μὲν δὴ μεγάλοις αὖθις ἱστίοις ἐξ ἀέλπτου τὸ πνεῦμα ἐδέχοντο, καὶ διέπλεον ἀδεῶς· αἱ δ' ἀπελίποντο, ῥοθίῳ καὶ πνεύματι καὶ θαλάσσῃ κοίλῃ κακοπαθοῦσαι. καὶ μόλις ἐς ἀλίμενα καὶ πετρώδη διεῤῥίφησαν, δύο τινὰς ἐς τέλμα τῶν Καίσαρος κατενεχθείσας ἑλοῦσαι. Ἀντώνιος δὲ ταῖς λοιπαῖς ἐς τὸ καλούμενον Νυμφαῖον κατήχθη.*

Cap. XXVIII. *Καὶ τῷ Καίσαρι σύμπας ὁ στρατὸς ἤδη παρῆν, παρῆν δὲ καὶ Πομπηΐῳ. καὶ ἀντεστρατοπέδευον ἀλλήλοις ἐπὶ λόφων ἐν φρουρίοις πολλοῖς. πεῖραί τε ἦσαν περὶ ἕκαστον φρούριον πυκναὶ, περιταφρευόντων καὶ περιτειχιζόντων ἀλλήλους* 86). *Ἐν δὲ ταῖσδε ταῖς πείραις περί τι φρούριον ἡττωμένου τοῦ Καίσαρος στρατοῦ, λοχαγὸς, ᾧ Σκευᾶς ὄνομα ἦν, πολλὰ καὶ λαμπρὰ δρῶν, ἐς τὸν ὀφθαλμὸν ἐτρώθη βέλει· καὶ προπηδήσας, κατέσεισεν, ὡς εἰπεῖν τι βουλόμενος. σιωπῆς δ' αὐτῷ γενομένης, Πομπηΐου λοχαγὸν ἐπὶ ἀνδρίᾳ γνώριμον ἐκάλει· Σῶζε τὸν ὅμοιον σεαυτῷ, σῶζε τὸν φίλον, καὶ πέμπε μοι τοὺς* 87) *χειραγωγήσοντας, ἐπεὶ τέτρωμαι. Προσδραμόντων δ' ὡς αὐτομολοῦντι δύο ἀνδρῶν, τὸν μὲν ἔφθασε* 88) *κτείνας, τοῦ δὲ τὸν ὦμον ἀπέκοψε. καὶ ὁ μὲν τάδε ἔπρασσεν, ἀπογιγνώσκων ἑαυτοῦ καὶ τοῦ φρουρίου. τοῖς δ' ἄλλοις αἰδὼς ἐπὶ τῷ συμβεβηκότι καὶ ὁρμὴ προσέπιπτε· καὶ τὸ φρούριον περιεσώθη, πολλὰ καὶ τοῦ φρουράρχου Μινουκίου παθόντος· ᾧ γέ φασι τὴν μὲν ἀσπίδα ἑκατὸν καὶ εἴκοσιν ἀναδέξασθαι βέλη, τὸ δὲ σῶμα ἓξ τραύματα, καὶ τὸν ὀφθαλμὸν* 89) *ὁμοίως ἐκκοπῆναι. τούτους μὲν δὴ Καῖσαρ ἀριστείοις πολλοῖς ἐτίμησεν. Τοῦ δ' αὐτοῦ χειμῶνος ἄλλην στρατιὰν ἐκ Συρίας ἦγε Πομπηΐῳ ὁ κηδεστής· καὶ αὐτῷ Γάϊος*

---

86) d. h. einer suchte den andern einzuschließen. — 87) cf. Nr. 84). — 88) §. 319. — 89) §. 263. —

Καλουΐσιος περὶ Μακεδονίαν συμβαλὼν, ἡσσᾶτο, καὶ τέλος ἐν αὐτοῦ κατεκόπη χωρὶς ὀκτακοσίων ἀνδρῶν.

Cap. XXIX. Καίσαρι μὲν δὴ οὐδὲν ἦν 90) ἐκ θαλάσσης, διὰ Πομπήϊον ναυκρατοῦντα· ἐλίμαινεν οὖν ὁ στρατὸς αὐτῷ, καὶ τὴν πόαν ἠρτοποίουν. αὐτόμολοί τε Πομπηΐῳ τοιούσδε ἄρτους προσήνεγκαν, ὡς εὐφρανοῦντες ἰδόντα· ὁ δὲ οὐχ ἥσθη, ἀλλ' εἶπεν, Οἵοις θηρίοις μαχόμεθα. Ὁ μὲν δὴ Καῖσαρ ὑπ' ἀνάγκης τὸν στρατὸν ἅπαντα συνῆγεν, ὡς καὶ ἄκοντα Πομπήϊον βιασόμενος ἐς μάχην· ὁ δὲ αὐτοῦ τὰ πολλὰ τῶν φρουρίων ἐκ τοῦδε κεκενωμένα προσλαβὼν, ἡσύχαζε. Καὶ τῷδε μάλιστα ἀνιαθεὶς ὁ Καῖσαρ, ἐπετόλμησεν ἔργῳ δυσχερεῖ τε καὶ παραλόγῳ· πάντα Πομπηΐου τὰ στρατόπεδα, ἑνὶ τείχει περιλαβὼν, ἐκ θαλάσσης ἐς θάλασσαν ἀποτειχίσαι· ὡς μεγάλην, εἰ καὶ διαμάρτοι, δόξαν οἰσόμενος ἐπὶ τῷ τολμήματι. στάδιοι γὰρ ἦσαν διακόσιοι καὶ χίλιοι. Καὶ ὁ μὲν ἐνεχείρει τοσῷδε ἔργῳ. Πομπήϊος δ' αὐτὸν ἀνταπετάφρευε καὶ ἀντῳκοδόμει· καὶ μάταια τὰ ἔργα ἀλλήλοις ἐποίουν. Γίγνεται δ' αὐτοῖς ἀγὼν εἷς μέγας, ἐν ᾧ Πομπήϊος τρέπεταί τε τοὺς Καίσαρος πάνυ λαμπρῶς, καὶ ἐς τὸ στρατόπεδον ἐδίωκε φεύγοντας. σημεῖα τε πολλὰ εἷλεν αὐτῶν· καὶ τὸν ἀετὸν (ὃ δὴ κυριώτατόν ἐστι Ῥωμαίοις) μόλις ἔφθασεν ὁ φέρων ὑπὲρ τὸ χαράκωμα τοῖς ἔνδον ῥίψαι.

Cap. XXX. Γενομένης δὲ τῆς τροπῆς λαμπρᾶς, ὁ Καῖσαρ ἑτέρωθεν ἦγεν ἄλλον στρατὸν, οὕτω δή τι καὶ τοῦτον περίφοβον, ὡς, Πομπηΐου μακρόθεν ἐπιφανέντος, μήτε στῆναι, περὶ τὰς πύλας ὄντας ἤδη, μήτε ἐσελθεῖν ἐν κόσμῳ, μήτε πεισθῆναι τοῖς προστάγμασιν, ἀλλὰ φεύγειν ἕκαστον ὅπη τύχοιεν ἀμεταστρεπτὶ, χωρὶς αἰδοῦς, καὶ παραγγέλματος, καὶ λογισμοῦ. Καίσαρος δ' αὐτοὺς περιθέοντός τε καὶ σὺν ὀνείδει μακρὰν ἔτι τὸν Πομπήϊον ὄντα ἐπιδεικνύοντος, καὶ ἐφορῶντος, τὰ σημεῖα ἀπεῤῥίπτουν καὶ ἔφευγον. οἱ δὲ μόλις ὑπ' αἰδοῦς κατέκυπτον ἐς τὴν γῆν ἄπρακτοι. τοσοῦτος αὐτοῖς τάραχος ἐνεπεπτώκει. εἷς δὲ καὶ στρέψας τὸ σημεῖον ἀνέτεινε τὸν οὐρίαχον ἐς τὸν αὐτοκράτορα· καὶ τόνδε μὲν οἱ Καίσαρος ὑπασπισταὶ κατέκοπτον. οἱ δ', ἐσελθόντες, οὐδ' ἐπὶ τὰς φυλακὰς ἀπήντων, ἀλλὰ μεθειμένα πάντα ἦν, καὶ τὸ χαράκωμα ἀφύλακτον· ὥστε αὐτὸ δοκεῖ συνεσπεσὼν ἂν τότε ὁ Πομπήϊος ἑλεῖν κατὰ κράτος, καὶ τὸν πόλεμον ἑνὶ τῷδε ἔργῳ πάντα ἐξεργάσασθαι· εἰ μὴ Λαβιηνὸς αὐτὸν, θεοῦ παράγοντος, ἐπὶ τοὺς φεύγοντας ἔπειθε τραπῆναι· καὶ αὐτὸς ἅμα ὤκνησεν, ἢ τὴν ἀφυλαξίαν τοῦ χαρακώματος, ὡς ἐνέδραν, ὑφορώμενος, ἢ ὡς ἤδη κεκριμένου τοῦ πολέμου 91) καταφρονήσας. ἐπὶ δὲ

---

90) er bekam von daher keine Zufuhr. — 91) §. 213. —

τοὺς ἔξω τραπεὶς, ἑτέρους τε ἔκτεινε πολλοὺς, καὶ σημεῖα τῆς ἡμέρας ἐκείνης ἔλαβεν ἐν ταῖς δύο μάχαις ὀκτὼ καὶ εἴκοσι, καὶ δεύτερον τόνδε καιρὸν ἐντελοῦς ἔργου μεθῆκεν. ὃ καὶ τὸν Καίσαρα φασὶν εἰπεῖν, ὅτι 92) σήμερον ἂν ὁ πόλεμος ἐξείργαστο 93) τοῖς πολεμίοις, εἰ τὸν νικᾷν ἐπιστάμενον εἶχον.

Cap. XXXI. Ὁ δὲ Πομπήϊος τήν τε νίκην ὑπερεπαίρων, ἐπέστελλε βασιλεῦσι καὶ πόλεσι πάσαις· καὶ τὸν στρατὸν αὐτίκα τὸν Καίσαρος ἤλπιζε πρὸς ἑαυτὸν μεταβαλεῖσθαι, λιμῷ τε πεπιεσμένον, καὶ ὑπὸ τῆς ἥττης καταπεπληγμένον· μάλιστα δὲ τοὺς ἡγεμόνας αὐτοῦ, τὸ σφέτερον ἁμάρτημα φοβουμένους. Οἱ δὲ, θεοῦ σφᾶς ἐπὶ μετάνοιαν ἄγοντος, τὸ ἁμάρτημα 94) ᾐδοῦντο· καὶ τοῦ Καίσαρος αὐτοῖς ἐπιμεμφομένου τε πρᾴως, καὶ συγγνώμην διδόντος, ἔτι μᾶλλον ἠρεθίζοντο καθ' ἑαυτῶν· καὶ, ἐκ παραδόξου μεταβολῆς, ἐκέλευον τῷ πατρίῳ νόμῳ διακληρώσαντα αὐτοὺς, τὸ δέκατον μέρος ἀναιρεῖν. οὐ πειθομένου δὲ τοῦ Καίσαρος, μᾶλλον ᾐδοῦντο, καὶ συνεγίγνωσκον αὐτὸν οὐκ ἀξίως ὑπὸ σφῶν ἠδικῆσθαι· καὶ τοὺς φέροντας τὰ σημεῖα κτείνειν ἐπεβόων, ὡς οὐκ ἂν αὐτοί ποτε φυγόντες, εἰ μὴ τὰ σημεῖα προαπεστράφη. ὡς δὲ ὁ Καῖσαρ, οὐδὲ τοῦτ' ἀνασχόμενος, ὀλίγους μόλις ἐκόλασεν, αὐτίκα πᾶσιν αὐτοῦ πρὸς τὴν μετριοπάθειαν ὁρμὴ τοσήδε ἐνέπιπτεν, ὡς εὐθὺς αὐτὸν ἄγειν ἀξιοῦν ἐπὶ τοὺς πολεμίους. καὶ ἐνέκειντο σφόδρα προθύμως, παρακαλοῦντές τε καὶ ὑπισχνούμενοι διορθώσεσθαι τὸ ἁμάρτημα νίκῃ καλῇ· κατά τε σφᾶς ἐπιστρεφόμενοι πρὸς ἀλλήλους ἰλαδὸν, κατὰ μέρη συνώμνυντο, ἐφορῶντος αὐτοῦ 95) Καίσαρος, μὴ ἐπανήξειν ἐκ τῆς μάχης, εἰ μὴ κρατοῖεν.

Cap. XXXII. Ὅθεν αὐτὸν οἱ μὲν φίλοι παρεκάλουν, ἀποχρήσασθαι τοιᾷδε μετανοίᾳ καὶ προθυμίᾳ στρατοῦ. ὁ δ' ἐς μὲν τὸ πλῆθος εἶπεν, ὅτι 96) μετὰ βελτιόνων καιρῶν αὐτοὺς ἐπὶ τοὺς πολεμίους ἄξει, καὶ μεμνῆσθαι τῆσδε τῆς προθυμίας διεκελεύσατο. τοὺς δὲ φίλους ἀνεδίδασκεν, ὅτι χρὴ καὶ τῶνδε προεξελεῖν τὸν φόβον τῆς ἥσσης, πολὺν αὐτοῖς ἐγγενόμενον, καὶ τῶν πολεμίων τὸ φρόνημα ἀκμάζον προκαθελεῖν. ὡμολόγει τε, μεταγιγνώσκειν 97) πρὸς Δυῤῥαχίῳ στρατοπεδεύσας, ἔνθα ἐστὶν 98) ἡ παρασκευὴ πᾶσα Πομπηΐῳ, δέον 99) ἀποσπᾶν αὐτὸν ἑτέρωθι ἐς ὁμοίας ἀπορίας. Καὶ τάδε εἰπὼν, ἐς Ἀπολλωνίαν εὐθὺς μετῄει, καὶ ἀπ' αὐτῆς ἐς Θεσσαλίαν νυκτὸς ὑπεχώρει λανθάνων· Γόμφους τε, πόλιν μικρὰν, οὐ δεχομένην αὐτὸν, ἐξεῖλεν ὑπὸ ὀργῆς, καὶ

---

92) §. 304. — 93) §. 291, 5. — 94) §. 232. — 95) §. 324, A. 3. — 96) §. 310, 4. §. 303. §. 299, A. — 97) §. 317, a. — 98) §. 313. — 99) §. 325, A. 2. —

ἐπέτρεψε [100]) τῷ στρατῷ διαρπάσαι. οἱ δ᾽ ὡς ἐκ λιμοῦ πάντων ἐνεπίπλαντο ἀθρόως, καὶ ἐμεθύσκοντο ἀπρεπῶς· καὶ μάλιστα αὐτῶν οἱ Γερμανοὶ γελοιότατοι κατὰ τὴν μέθην ἦσαν. ὥστε δοκεῖ καὶ τότε ἂν ὁ Πομπήϊος ἐπελθὼν ἐργάσασθαί τι λαμπρὸν, εἰ μὴ διώκειν ὅλως ὑπερεῖδεν ἐκ καταφρονήσεως· μέχρι Καῖσαρ ἑπτὰ συντόνως ἡμέραις ὁδεύσας, ἐστρατοπέδευσε περὶ Φάρσαλον. Λέγεται δ᾽ ἐν τοῖς Γόμφοις γενέσθαι παθήματα γενναῖα, καὶ νεκροὺς τῶν ἐπιφανῶν γερόντων ἐν ἰατρείῳ φανῆναι, κυλίκων αὐτοῖς παρακειμένων ἀτρώτοις, εἴκοσι μὲν, ὡς ἐς μέθην κατακεκλιμένους ἐπὶ τὸ ἔδαφος· ἕνα δ᾽ ἐπὶ θρόνου παρακαθεζόμενον, οἷα ἰατρὸν, ὃς τὸ φάρμακον αὐτοῖς ἄρα παρεσχε.

Cap. XXXIII. Πομπήϊος δ᾽ ἐπὶ τῇ Καίσαρος ἀναζεύξει βουλὴν προὐτίθει· καὶ Ἀφρανίῳ μὲν ἐδόκει, τὸ ναυτικὸν, ᾧ δὴ καὶ πολὺ προὖχεν, ἐπιπέμπειν Καίσαρι, καὶ ἐνοχλεῖν θαλασσοκρατοῦντας ἀλωμένῳ καὶ ἀποροῦντι· τὸ δὲ πεζὸν αὐτὸν Πομπήϊον ἄγειν κατὰ σπουδὴν ἐς τὴν Ἰταλίαν, εὔνουν τε πρὸς αὐτὸν οὖσαν, καὶ πολεμίων [1]) ἔρημον. κρατυνάμενον δ᾽ αὐτήν τε καὶ Γαλατίαν καὶ Ἰβηρίαν, ἐξ οἰκείας καὶ ἡγεμονίδος γῆς [2]) αὖθις ἐπιχειρεῖν Καίσαρι. Ὁ δὲ καὶ ταῦτα, ἄριστα ἂν οἱ γενόμενα, παριδὼν, ἐπείθετο τοῖς λέγουσιν, αὐτίκα τὸν Καίσαρος στρατὸν μεταθήσεσθαι πρὸς αὐτὸν ὑπὸ τοῦ λιμοῦ, ἢ οὐ πολὺ σφίσιν ἔσεσθαι τὸ ἔτι λοιπὸν ἐπὶ τῇ κατὰ Δυῤῥάχιον γενομένῃ νίκῃ· τὸ δ᾽ ἐναντίον [3]) αἴσχιστον εἶναι, καταλιπεῖν φεύγοντα Καίσαρα, καὶ τοῖς ἡττηθεῖσιν ὁμοίως τὸν νικῶντα φεύγειν. Ὁ μὲν δὴ τοῖσδε προσθέμενος, αἰδοῖ μάλιστα τῶν ἑώων ἐθνῶν ἐς αὐτὸν ἀφορώντων, καὶ φειδοῖ Λευκίου Σκιπίωνος, μή τι περὶ Μακεδονίαν ὢν ἔτι πάθοι· μάλιστα δ᾽, ἐς ἀγῶνα χρήσασθαι θαῤῥοῦντι τῷ στρατῷ διανοούμενος· ἐπῆλθε, καὶ ἀντεστρατοπέδευσε τῷ Καίσαρι περὶ Φάρσαλον, καὶ τριάκοντα σταδίους ἀλλήλων ἀπεῖχον.

Cap. XXXIV. Ἀγορὰ δὲ Πομπηΐῳ μὲν ἦν πανταχόθεν· οὕτω γὰρ αὐτῷ προδιῴκηντο καὶ ὁδοὶ καὶ λιμένες καὶ φρούρια, ὡς ἔκ τε γῆς αἰεὶ φέρεσθαι, καὶ διὰ θαλάσσης πάντα ἄνεμον αὐτῷ φέρειν. Καῖσαρ δὲ μόνον εἶχεν ὅ τι μόλις εὕροι καὶ λάβοι κακοπαθῶν. καὶ οὐδ᾽ ὣς αὐτὸν ἀπέλειπεν οὐδεὶς, ἀλλὰ σπουδῇ δαιμονίῳ συνενεχθῆναι τοῖς πολεμίοις ὠρέγοντο· καὶ ἡγοῦντο, πολέμῳ μὲν εἶναι παρὰ πολὺ ἀμείνους νεοστρατεύτων ἔτι ὄντων, δέκα ἔτεσιν ἠσκημένοι· ἐς δὲ ταφρείας ἢ περιτειχίσεις ἢ σιτολογίας ἐπιπόνους ἀσθενέστεροι, δια γῆρας. ὅλως τε κάμνουσιν αὐτοῖς ἐδόκει δρᾶν τι μετ᾽ ἀργίας, ἢ μετὰ λιμοῦ διαφθαρῆναι.

---

100) §. 310, 1. — 1) §. 207, 6. — 2) i. e. Rom. — 3) §. 235. —

Ὧν ὁ Πομπήϊος αἰσθανόμενος, ἐπικίνδυνον μὲν ἡγεῖτο, γεγυμνασμένοις καὶ ἀπογιγνώσκουσιν αὐτῶν ἀνδράσι, καὶ τύχῃ Καίσαρος λαμπρᾷ, περὶ τῶν ὅλων συνενεχθῆναι δι' ἑνὸς ἔργου· δυνατώτερον δὲ καὶ ἀκινδυνότερον, ἐκτρῦσαι ταῖς ἀπορίαις αὐτοὺς, οὔτε γῆς εὐπόρου κρατοῦντας, οὔτε θαλάσσῃ χρωμένους, οὔτε ναῦς ἐς φυγὴν ταχεῖαν ἔχοντας. Ὁ μὲν δὴ κρατίστῳ λογισμῷ τρίβειν τὸν πόλεμον ἐγνώκει, καὶ ἐς λιμὸν ἐκ λιμοῦ τοὺς πολεμίους περιφέρειν.

Cap. XXXV. Πολὺ δ' ἀμφ' αὐτὸν πλῆθος ἀνδρῶν ἀπό τε τῆς βουλῆς ὁμοτίμων οἱ [4]), καὶ τῶν καλουμένων ἱππέων οἱ διαφανέστατοι, βασιλεῖς τε πολλοὶ καὶ δυνάσται, οἱ μὲν ὑπ' ἀπειρίας, οἱ δ' ἀμέτρως τοῖς περὶ τὸ Δυῤῥάχιον εὐπραγήμασιν ἐπηρμένοι, εἰσὶ δ' οἳ [5]) καὶ τῷ πλέονες εἶναι τῶν πολεμίων, οἱ δὲ καὶ κάμνοντες ὅμως τῷ πολέμῳ τὴν κρίσιν ταχυτέραν μᾶλλον ἢ πρέπουσαν ἐπειγόμενοι γενέσθαι, πάντες ἐξώτρυνον αὐτὸν ἐς τὴν μάχην· ἐπιδεικνύοντες αἰεὶ τὸν Καίσαρα παρατάττοντά τε καὶ προκαλούμενον. Ὁ δ' ἐξ αὐτοῦ μάλιστα τοῦδε αὐτοὺς ἀνεδίδασκεν, ὅτι Καίσαρι μὲν τοῦτ' ἐξ ἀπορίας ἀναγκαῖον ἦν, σφίσι δὲ καὶ διὰ τοῦτ' εὔκαιρον ἡσυχάζειν, ὅτι Καῖσαρ ὑπ' ἀνάγκης ἐπείγοιτο. Ἐνοχλούμενος δὲ ὑπό τε τοῦ στρατοῦ παντὸς, ἐπηρμένου τοῖς περὶ τὸ Δυῤῥάχιον ἀμέτρως, καὶ τῶν ἐπ' ἀξιώσεως [6]), αὐτὸν ἐπιτωθαζόντων ἐς φιλαρχίαν [7]), ὡς ἑκόντα βραδύνοντα, ἵνα ἀνδρῶν ὁμοτίμων τοσῶνδε ἄρχοι, καὶ ἐπὶ τῷδε αὐτὸν βασιλέα τε βασιλέων καὶ Ἀγαμέμνονα καλούντων, ὅτι κἀκεῖνος βασιλέων διὰ τὸν πόλεμον ἦρχεν· ἐξέστη τῶν οἰκείων λογισμῶν, καὶ ἐνέδωκεν αὐτοῖς, θεοῦ βλάπτοντος ἤδη καὶ τἄλλα παρ' ὅλον τόνδε τὸν πόλεμον. νωθής τε γὰρ καὶ βραδὺς παρὰ τὴν αὐτοῦ φύσιν ἐν ἅπασι γεγονὼς, παρεσκευάζετο ἄκων ἐς μάχην ἐπὶ κακῷ τε αὐτοῦ καὶ τῶν αὐτὸν ἀναπειθόντων.

Cap. XXXVI. Καίσαρι δὲ τῆς νυκτὸς ἐκείνης τρία μὲν ἐπὶ σιτολογίαν ἐξῄει τέλη· τὸν γὰρ Πομπήϊον ἐπαινῶν τῆς βραδυτῆτος, καὶ οὐδαμοῦ νομίζων μεταθήσεσθαι τοῦ βουλεύματος, περιέπεμπεν ἐπὶ σῖτον. πυθόμενος δὲ τῆς παρασκευῆς, ἥσθη τε τῆς ἀνάγκης ἣν εἴκαζεν ἠναγκάσθαι Πομπήϊον ὑπὸ τοῦ στρατοῦ, καὶ τὸν ἑαυτοῦ τάχιστα ἀνεκάλει πάντα, καὶ ἀντιπαρεσκευάζετο. θυόμενός τε νυκτὸς μέσης, τὸν Ἄρη κατεκάλει, καὶ τὴν ἑαυτοῦ πρόγονον Ἀφροδίτην· (ἐκ γὰρ Αἰνείου καὶ Ἴλου τοῦ Αἰνείου τὸ τῶν Ἰουλίων γένος, παρενεχθέντος τοῦ ὀνόματος, ἡγεῖτο εἶναι)·

---

4) senatores dignitate pares. — 5) §. 254. — 6) honoratiores. — 7) d. h. daß er, um länger seine Würde zu bekleiden, zögere. —

νεών τε αὐτῇ νικηφόρῳ χαριστήριον ἐν Ῥώμῃ ποιήσειν εὔχετο κατορθώσας. ὡς δὲ καὶ σέλας ἐξ οὐρανοῦ διαπτὰν ἀπὸ τοῦ Καίσαρος ἐς τὸ Πομπηΐου στρατόπεδον ἐσβέσθη, οἱ μὲν ἀμφὶ τὸν Πομπήϊον ἔσεσθαί τι λαμπρὸν αὐτοῖς ἔφασαν ἐκ τῶν πολεμίων· ὁ δὲ Καῖσαρ, σβέσειν αὐτὸς ἐμπεσὼν τὰ Πομπηΐου. Αὐτῷ δὲ τῷ Πομπηΐῳ τῆς αὐτῆς νυκτός τινα τῶν ἱερείων ἐκφυγόντα οὐ συνελήφθη, καὶ μελισσῶν ἑσμὸς ἐπὶ τοῖς βωμοῖς ἐκάθισε, ζώου νωχελοῦς. μικρόν τε πρὸ ἕω, πανικὸν [8]) ἐνέπεσεν αὐτοῦ τῷ στρατῷ· καὶ τόδε περιδραμὼν αὐτὸς καὶ καταστήσας, ἀνεπαύετο σὺν ὕπνῳ βαθεῖ.

Cap. XXXVII. Περιεγειράντων δ' αὐτὸν τῶν φίλων, ὄναρ ἔφασκεν ἄρτι νεὼν ἐν Ῥώμῃ καθιεροῦν Ἀφροδίτῃ Νικηφόρῳ. καὶ τόδε μὲν, ἀγνοίᾳ τῆς Καίσαρος εὐχῆς, οἵ τε φίλοι καὶ ὁ στρατὸς ἅπας, πυθόμενοι, ἥδοντο, καὶ τἄλλα ἀλόγως σὺν ὁρμῇ καὶ καταφρονήσει χωροῦντες ἐπὶ τὸ ἔργον, ὡς ἐπὶ ἕτοιμον. ὧν γε πολλοὶ καὶ τὰς σκηνὰς δάφναις ἀνέστεφον ἤδη, συμβόλῳ νίκης· καὶ οἱ θεράποντες αὐτοῖς δαῖτα λαμπροτάτην ἐπόρσυνον. εἰσὶ δ' οἳ καὶ περὶ τῆς Καίσαρος ἀρχιερωσύνης ἐς ἀλλήλους ἤδη διήριζον. ἅπερ ὁ Πομπήϊος, οἷα πολέμων [9]) ἔμπειρος, ἀπεστρέφετο, καὶ νεμεσῶν ἐπ' αὐτοῖς, ἐνεκαλύπτετο· κατεσιώπα δ' ὅμως ὑπὸ ὄκνου καὶ δέους, ὥσπερ οὐ στρατηγῶν ἔτι, ἀλλὰ στρατηγούμενος, καὶ πάντα πράσσων ὑπὸ ἀνάγκης παρὰ γνώμην. τοσοῦτον ἀνδρὶ μεγαλουργῷ, καὶ παρὰ πᾶν ἔργον [10]) ἐς ἐκείνην τὴν ἡμέραν εὐτυχεστάτῳ γενομένῳ, τὸ δύσθυμον ἐνεπεπτώκει· εἴτε ὅτι τὰ συμφέροντα κρίνων οὐκ ἔπειθεν, ἀλλ' ἐπὶ κύβον ἐχώρει πλήθους ἀνδρῶν τοσῶνδε σωτηρίας, καὶ τῆς ἑαυτοῦ δόξης ἐς τότε ἀησσήτου· εἴτε τι καὶ μαντικώτερον [11]) αὐτὸν, πλησιάζοντος ἤδη τοῦ κακοῦ, συνετάρασσε, μέλλοντα τῆς ἡμέρας ἐκείνης ἐκ δυναστείας τοσῆσδε ἀθρόως ἐκπεσεῖσθαι. Τοσοῦτον δ' οὖν εἰπὼν τοῖς φίλοις, ὅτι ἥδε ἡ ἡμέρα, ὁπότερος ἂν ἐπικρατήσοι, μεγάλων ἐς αἰεὶ Ῥωμαίοις ἄρξει κακῶν, παρέτασσεν ἐς τὴν μάχην. ᾧ δὴ καὶ μάλιστα αὐτοῦ τὴν διάνοιαν προπεσεῖν τινες ἐν τῷ φόβῳ [12]) νομίζοντες, ἡγοῦντο οὐδ' ἂν Πομπήϊον, κρατήσαντα, μεθεῖναι τὴν μοναρχίαν.

---

8) Jedes plötzlich, und ohne eine sichtbare Ursache unter einer Schaar von Menschen oder Thieren entstandene Schrecken ward dem Pan zugeschrieben, der den Persern bey Marathon ein solches einjagte, und dadurch den Athenern seinen Beistand bethätigte. — 9) §. 207, 2. — 10) bis auf. — 11) eine Ahnung. — 12) constr. ἐν τῷ φόβῳ τὴν διάνοιαν προπεσεῖν. —

Cap. XXXVIII. *Στρατιὰ δ' ἦν· Καίσαρι μὲν, ἐς δισχιλίους ἐπὶ δισμυρίοις, καὶ τούτων ἱππεῖς ἦσαν ἀμφὶ τοὺς χιλίους· Πομπηΐῳ δὲ, ὑπὲρ τὸ διπλάσιον, καὶ τούτων ἱππεῖς ἐς ἑπτακισχιλίους. ὧδε μὲν τοῖς τὰ πιθανώτατα λέγουσι δοκεῖ, μυριάδας ἑπτὰ ἀνδρῶν Ἰταλῶν συμπεσεῖν ἀλλήλοις ἐς μάχην. οἱ δ' ὀλιγωτέρους ἐξακισμυρίων φασίν. οἱ δ', ὑπερεπαίροντες, τεσσαράκοντα μυριάδας γενέσθαι λέγουσι. καὶ τούτων οἱ μὲν ἡμιόλιον, οἱ δὲ ἐκ τριῶν νομίζουσιν ἀμφὶ τὰ δύο τῷ Πομπηΐῳ γενέσθαι μέρη. τοσάδε μὲν ἀμφιγνοοῦσι περὶ τοῦ ἀκριβοῦς. Ὅπως δ' οὖν εἶχε, τᾶσδε μάλιστα τοῖς ἐξ Ἰταλίας ἑκάτερος 13) αὐτῶν ἐθάῤῥει. Τὸ δὲ συμμαχικὸν ἦν, Καίσαρι μὲν, ἱππεῖς τε Κελτοὶ, καὶ Κελτῶν τῶν ὑπὲρ Ἄλπεις ἀριθμὸς ἄλλος· Ἑλλήνων δ' ἐπέλταζον αὐτῷ Δόλοπες, Ἀκαρνᾶνες, Αἰτωλοί. τοσοίδε μὲν τῷ Καίσαρι συνεμάχουν. Πομπηΐῳ δὲ, πάντα τὰ ἑῶα ἔθνη κατὰ πλῆθος, οἱ μὲν, ἐξ ἵππων, οἱ δὲ, πεζοί· ἀπὸ μὲν τῆς Ἑλλάδος, Λάκωνες, ὑπὸ τοῖς ἰδίοις βασιλεῦσι τασσόμενοι, καὶ ἡ ἄλλη Πελοπόννησος, καὶ Βοιωτοὶ μετ' αὐτῶν. Ἐστράτευον δὲ καὶ Ἀθηναῖοι, πρὸς τὴν δόξαν ἄρα τοῦ πολέμου τραπέντες, ὡς ὑπὲρ τῆς Ῥωμαίων ἡγεμονίας ἀγωνιούμενοι.*

Cap. XXXIX. *Ἐπὶ δὲ τοῖς Ἕλλησιν, ὀλίγου πάντες, ὅσοι περιϊόντι τὴν ἐν κύκλῳ θάλασσαν 14) ἐπὶ τὴν ἕω, Θρᾷκές τε καὶ Ἑλλησπόντιοι, καὶ Βιθυνοὶ, καὶ Φρύγες, καὶ Ἴωνες, Λυδοί τε καὶ Παμφύλιοι, καὶ Πισίδαι, καὶ Παφλαγόνες, καὶ Κιλικία, καὶ Συρία, καὶ Φοινίκη, καὶ τὸ Ἑβραίων γένος, καὶ Ἄραβες οἱ τούτων ἐχόμενοι, Κύπριοί τε καὶ Ῥόδιοι, καὶ Κρῆτες σφενδονῆται, καὶ ὅσοι ἄλλοι νησιῶται. παρῆσαν δὲ καὶ βασιλεῖς καὶ δυνάσται στρατὸν ἄγοντες 15)· Δηϊόταρος μὲν τετράρχης 16) Γαλατῶν τῶν ἑώων, Ἀριαράθης δὲ, Καππαδοκῶν βασιλεύς. Ἀρμενίους δὲ ἦγε τοὺς ἐντὸς Εὐφράτου στρατηγὸς Ταξίλης, καὶ Ἀρμενίους τοὺς ὑπὲρ Εὐφράτην Μεγαβάτης, ὕπαρχος Ἀρτάπα τοῦ βασιλέως. ἄλλοι τε μικροὶ δυνάσται συνεπελαμβάνοντο τοῦ πόνου. Λέγονται δὲ καὶ ἀπ' Αἰγύπτου νῆες ἑξήκοντα αὐτῷ παραγενέσθαι παρὰ τῶν Αἰγύπτου βασιλέων, Κλεοπάτρας τε καὶ τοῦ ἀδελφοῦ παιδὸς ἔτι ὄντος. ἀλλ' αἵδε μὲν οὐ συνεμάχησαν· οὐδὲ γὰρ τὸ ἄλλο ναυτικὸν 17), ἀλλ' ἐπὶ ἀργίας ἐν Κερκύρᾳ κατέμενε. Καὶ δοκεῖ Πομπήϊος τόδε μάλιστα ἀφρόνως ἐργάσασθαι, τῶν μὲν νεῶν καταφρονήσας· αἷς δὴ πολὺ προὔχων, ἐδύνατο παν-*

---

13) Cäsar und Pompejus. — 14) quotquot per circuitum mare accolunt. — 15) §. 331, 3) A. — 16) Galatien war in 4 Theile getheilt, die man Tetrarchien nannte. — 17) §. 238, 3. —

ταχοῦ τὴν ἐπακτὸν ἀγορὰν τοὺς πολεμίους ἀφαιρεῖσθαι· ἐν δὲ ἀγῶνι πεζῷ συνενεχθεὶς ἀνδράσιν ἐκ πόνου πολλοῦ μεγαλαύχοις τε καὶ θηριώδεσιν ἐς μάχας γενομένοις.

Cap. XL. Τότε δ' αὐτῶν τὴν στρατιὰν ἑκάτερος συναγαγὼν, ἐπώτρυνε. Πομπήϊος μὲν, τοιάδε λέγων· Ὑμεῖς, ὦ συστρατιῶται, στρατηγεῖτε [18]) τοῦ πόνου μᾶλλον, ἢ στρατεύεσθε. αὐτοὶ γὰρ, ἐμοῦ τὰ Καίσαρος ἐκτρίχειν ἔτι βουλομένου, τὸν ἀγῶνα τόνδε προὐκαλέσασθε. ὡς οὖν ἀγωνοθέται τῆς μάχης, χρήσασθε μὲν [19]), ὡς ἐλάττοσι πολὺ πλείονες· καταφρονεῖτε δὲ ὡς ἡσσημένων νενικηκότες, καὶ γερόντων νέοι, καὶ πολλὰ κεκμηκότων ἀκμῆτες ἄνδρες. οἷς ὑπάρχει δύναμις τοσήδε καὶ παρασκευὴ, καὶ τὸ συνειδὸς αὐτὸ τῆς [20]) αἰτίας. ὑπὲρ γὰρ ἐλευθερίας καὶ πατρίδος ἀγωνιζόμεθα, μετὰ νόμων καὶ δόξης ἀγαθῆς, καὶ [21]) τοσῶνδε ἀνδρῶν, τῶν μὲν ἀπὸ βουλῆς, τῶν δ' ἱππέων, πρὸς ἄνδρα ἕνα ληστεύοντα τὴν ἡγεμονίαν. Ἴτε οὖν, ὡς ἠξιοῦτε, μετ' ἀγαθῆς ἐλπίδος· ἐν ὄψει τιθέμενοι τήν τε φυγὴν αὐτῶν τὴν περὶ τὸ Δυῤῥάχιον γενομένην, καὶ ὅσα σημεῖα μιᾶς ἡμέρας κρατοῦντες αὐτῶν ἐλάβομεν. Ὁ μὲν δὴ Πομπήϊος ὧδε ἔλεγεν.

Cap. XLI. Ὁ δὲ Καῖσαρ τοῖς ἰδίοις τοιάδε· Τὸ μὲν δυσχερέστερα ἤδη νενικήκαμεν, ὦ φίλοι. ἀντὶ γὰρ λιμοῦ καὶ ἀπορίας, ἀνδράσι μαχούμεθα. ἥδε δ' ἡ ἡμέρα κρινεῖ πάντα. Μέμνησθέ μοι τῆς περὶ τὸ Δυῤῥάχιον ἐπαγγελίας, καὶ ἂν ἐφορῶντος ἐμοῦ συνώμνυσθε ἀλλήλοις, μὴ νικῶντες οὐδ' ἐπανήξειν. Οἵδε εἰσὶν, ὦ ἄνδρες, ἐφ' οὓς ἐξ Ἡρακλείων στηλῶν ἤλθομεν· οἵδε οἱ περιφυγόντες ἡμᾶς ἐξ Ἰταλίας· οἱ τοὺς δέκα ἔτεσιν ἀθλοῦντας ἡμᾶς, καὶ πολέμους τοσούσδε καὶ νίκας δισαριθμήτους ἀνύσαντας, καὶ Ἰβήρων καὶ Κελτῶν καὶ Βρεττινῶν ἔθνη τετρακόσια περιποιήσαντας τῇ πατρίδι [22]), διέλυον ἀγεράστους ἄνευ θριάμβου τε καὶ δωρεᾶς. καὶ οὐδ' ἐς τὰ δίκαια αὐτοὺς ἐγὼ προκαλούμενος ἔπειθον, οὐδέ τι χάρισιν ἐξήνυον. ἴστε [23]), οὓς μεθῆκα ἀπαθεῖς, ἐλπίσας ἡμῖν τι παρ' αὐτῶν ἔσεσθαι [24]) δίκαιον. τῶνδε οὖν μοι τήμερον ἀθρόων ἀνενέγκατε· καὶ τῆς ἐμῆς πρὸς ὑμᾶς, εἴ τι σύνιστέ μοι, κηδεμονίας ἢ πίστεως, ἢ δωρεῶν μεγαλοφροσύνης.

Cap. XLII. Ἔστι δὲ οὐ δυσχερὲς, νεοστρατεύτων καὶ ἀπειροπολέμων [25]) ἔτι πολυπόνους ἀγωνιστὰς περιγενέσθαι· ἄλλως

---

18) ist nicht der Imperativ. — 19) d. h. benehmet euch. — 20) d. i. der gerechten Ursache. — 21) sc. μετὰ. — 22) d. h. es versuchten. — 23) ihr wisset selbst, wie viele ꝛc. — 24) sperans, me ab eis impetraturum aequum aliquid. — 25) §. 218. —

2252
2252 2252
2252 2252

τε, καὶ μειρακιωδῶς ἐς ἀταξίαν καὶ δυσπείθειαν [26]) τοῦ στρατηγοῦ τραπέντων. ὃν ἐγὼ πυνθάνομαι δεδιότα καὶ ἄκοντα χωρεῖν ἐπὶ τὸ ἔργον, τύχῃ τε παρακμάζοντα ἤδη, καὶ νωθῆ καὶ βραδὺν ἐς ἅπαντα γεγενημένον, καὶ οὐδὲ στρατηγοῦντα ἔτι μᾶλλον ἢ στρατηγούμενον. Καὶ τάδε μοι περὶ μόνων ἐστὶ τῶν Ἰταλῶν [27]). ἐπεὶ τῶν γε συμμάχων μηδὲ φροντίζετε, μηδ' ἐν λόγῳ τίθεσθε, μηδὲ μάχεσθε ὅλως ἐκείνοις. Ἀνδράποδα ταῦτ' ἐστὶ Σύρια καὶ Φρύγια καὶ Λύδια, φεύγειν αἰεὶ καὶ δουλεύειν [28]) ἕτοιμα· οἷς, ἐγὼ σαφῶς οἶδα, καὶ ὑμεῖς δὲ αὐτίκα ὄψεσθε, οὐδὲ Πομπήϊον αὐτὸν τάξιν ἐγγυῶντα πολέμου. Ἔχεσθε [29]) οὖν μοι τῶν Ἰταλῶν μόνων, κἂν οἱ σύμμαχοι δίκην κυνῶν περιθέωσιν ὑμᾶς καὶ θορυβοποιῶσι. τρεψάμενοι δ' αὐτοὺς, τῶνδε μὲν ὡς συγγενῶν φειδώμεθα, τοὺς δὲ συμμάχους ἐς τὴν τῶνδε κατάπληξιν [30]) ἐξεργάσασθε. Πρὸ δὲ πάντων, ὡς ἂν εἰδείην ὑμᾶς ἔγωγε, ὧν συνετίθεσθε, μεμνημένους [31]) τε, καὶ νίκην πάντως ἢ θάνατον αἱρουμένους, καθέλετέ μοι, προϊόντες ἐπὶ τὴν μάχην, τὰ τείχη τὰ σφέτερα αὐτῶν, καὶ τὴν τάφρον ἐγχώσατε· ἵνα μηδὲν ἔχωμεν, ἂν μὴ κρατῶμεν· ἴδωσι δ' ἡμᾶς ἀσταθμεύτους οἱ πολέμιοι, καὶ συνῶσιν, ὅτι πρὸς ἀνάγκης ἐστὶν ἡμῖν ἐν τοῖς ἐκείνων σταθμεῦσαι.

Cap. XLIII. Ὁ μὲν, τοσάδε εἰπὼν, φυλακὴν ὅμως τῶν σκηνῶν κατέπεμπε, δισχιλίους τοὺς πάνυ γέροντας. οἱ δ' ἐξιόντες, τὸ τεῖχος ἤρειπον μετὰ σιωπῆς βαθυτάτης, καὶ ἐς τὴν τάφρον αὐτὸ ἐνεχώννυον. Ὁρῶν δ' ὁ Πομπήϊος, ἡγουμένων τινῶν ἐς φυγὴν αὐτοὺς συσκευάζεσθαι, συνίει τοῦ τολμήματος, καὶ ἔστενε καθ' αὐτὸν, ὅτι χωροῦσιν ἐς χεῖρας θηρίοις, λιμὸν ἔχοντες, ἄξιον θηρίων φάρμακον. ἀλλ' οὐ γὰρ ἦν [32]) ἀναδῦναι ἔτι, τῶν πραγμάτων ὄντων ἐπὶ ξυροῦ. Διὸ δὴ καὶ τετρακισχιλίους τῶν Ἰταλῶν φύλακας τοῦ στρατοπέδου καταλιπὼν, παρέτασσε τοὺς λοιποὺς, ἐς τὸ μεταξὺ Φαρσάλου τε πόλεως καὶ Ἐνιπέως ποταμοῦ, ἔνθα καὶ ὁ Καῖσαρ ἀντιδιεκόσμει· τοὺς μὲν Ἰταλοὺς ἑκάτερος αὐτῶν ἐς τρία διαιρῶν ἐπὶ μετώπου, μικρὸν ἀλλήλων διεστῶτας, καὶ τοὺς ἱππέας ἐπὶ τοῖς κέρασι τοῖς κατὰ μέρη τάσσων. τοξόται δὲ πᾶσιν ἀναμεμίχατο καὶ σφενδονῆται. καὶ τὸ μὲν Ἰταλικὸν οὕτω κεκόσμητο, ᾧ δὴ καὶ μάλιστα αὐτῶν ἑκάτερος ἐθάῤῥει. Τὰ συμμαχικὰ δ' ἦγον ἐφ' ἑαυτῶν [33]), ὡς ἐς ἐπίδειξιν. πολύθρουν δὲ ἦν τὸ Πομπηΐου συμμαχικὸν καὶ πολύγλωσσον· καὶ

---

26) gegen. §. 206, 2. — 27) d. h. bisher rede ich von den Italern allein. — 28) §. 310, 3. — 29) §. 212. — 30) um Schrecken einzujagen. — 31) damit ich nun sehe, daß ihr euch eures Versprechens erinnert, so . . . — 32) §. 337. — 33) abgesondert. —

αὐτῶν ὁ Πομπήϊος Μακεδόνας μὲν καὶ Πελοποννησίους καὶ Βοιωτοὺς καὶ Ἀθηναίους, ἀποδεξάμενος τῆς εὐταξίας καὶ σιωπῆς [34]), παρεστήσατο τῇ φάλαγγι τῇ Ἰταλικῇ· τοὺς δὲ ἄλλους (ὅπερ ὁ Καῖσαρ εἴκαζεν) ἔξω τάξεως ἐκέλευσε κατὰ φυλὰς ἐφεδρεύοντας, ὅταν ἐν χερσὶν ὁ ἀγὼν γένηται, κυκλοῦσθαι τοὺς πολεμίους, καὶ διώκειν, ὅσα δύναιντο βλάπτοντας, καὶ τὸ στρατόπεδον αὐτὸ Καίσαρος, ἀχαράκωτον ὄν, διαρπάζειν.

Cap. XLIV. Ἡγοῦντο δὲ τῆς φάλαγγος, Πομπηΐῳ μὲν, ὁ κηδεστὴς [35]) Σκιπίων ἐν μέσῳ, καὶ ἐπὶ τοῦ λαιοῦ Δομίτιος, ἐπὶ δὲ τοῦ δεξιοῦ Λέντλος· Ἀφράνιος δὲ καὶ Πομπήϊος τὸ στρατόπεδον ἐφύλαττον. Καίσαρι δ' ἐστρατήγουν μὲν Σύλλας καὶ Ἀντώνιος καὶ Δομίτιος· αὐτὸς δ' ἐπικαίρως [36]) συνετάσσετο τῷ δεκάτῳ τέλει, καθάπερ ἦν ἔθος αὐτῷ. καὶ τοῦτ' ἰδόντες οἱ πολέμιοι, μετήγαγον ἐπ' αὐτὸ τοὺς ἀρίστους τῶν ἱππέων, ἵνα πλέονες ὄντες, εἰ δυνηθεῖεν, κυκλώσαιντο. συνεὶς δὲ ὁ Καῖσαρ, τρισχιλίους εὐτολμοτάτους πεζοὺς ἐνήδρευσεν, οἷς ἐκέλευσεν, ὅταν αἴσθωνται τοὺς πολεμίους περιθέοντας, ἀναπηδᾷν, καὶ τὰ δόρατα ἐσπηδῶντας ἀνίσχειν ὀρθὰ ἐς τὰ πρόσωπα τῶν ἀνδρῶν· οὐ γὰρ οἴσειν ἀπείρους καὶ νέους, ὡραϊζομένους ἔτι, τὸν ἐς τὰ πρόσωπα κίνδυνον. Οἱ μὲν δὴ τοιάδε κατ' ἀλλήλων ἐμηχανῶντο, καὶ περιῄεσαν ἑκάστους, καθιστάμενοι τά τε ἐπείγοντα, καὶ ἐς εὐτολμίαν παρακαλοῦντες, καὶ τὰ συνθήματα ἀναδιδόντες, ὁ μὲν Καῖσαρ, Ἀφροδίτην νικηφόρον· ὁ δὲ Πομπήϊος, Ἡρακλέα ἀνίκητον.

Ὡς δὲ σφίσιν ἕτοιμα πάντα ἦν, ἐπὶ πολὺ καὶ ὣς [37]) ἀνέμενον ἐν βαθείᾳ σιωπῇ· μέλλοντες ἔτι, καὶ ὀκνοῦντες, καὶ ἐς ἀλλήλους ἀποβλέποντες, ὁπότερος ἄρξει τῆς μάχης. τό τε γὰρ πλῆθος ᾤκτειρον, (οὐδένός πω τοσοῦδε Ἰταλοῦ στρατοῦ ἐς ἕνα κίνδυνον συνελθόντος·) καὶ τὴν ἀρετὴν [38]) (ἐκκρίτων ὄντων ἑκατέρων) ἠλέουν, καὶ μάλιστα ὅτε ἴδοιεν Ἰταλοὺς Ἰταλοῖς συμφερομένους. ἐγγύς τε τοῦ κακοῦ γιγνομένοις αὐτοῖς, ἡ ἐκκαίουσα καὶ τυφλοῦσα πάντας φιλοτιμία ἐσβέννυτο.

Cap. XLV. Μέλλουσι δ' ἔτι, καὶ ἐς ἀλλήλους ἀποβλέπουσιν, ἡ ἡμέρα προὔκοπτε. καὶ τὸ μὲν Ἰταλικὸν ἅπαν εὐσταθῶς ἐφ' ἡσυχίας ἀκριβοῦς ἀνέμενε· τὸ δὲ συμμαχικὸν ὁ Πομπήϊος αὐτοῦ ταρασσόμενον ὁρῶν ὑπὸ τῆς μελλήσεως, καὶ δείσας μὴ πρὸ τοῦ ἀγῶνος ἀταξίας κατάρξειεν, ὑπεσήμαινε πρῶτος, καὶ ἀντήχησε Καῖσαρ. Αὐτίκα δ' αἵ τε σάλπιγγες αὐτοὺς ἐξώτρυνον

---

34) sc. ἕνεκα. — 35) Quintus Caecilius Metellus Pius Scipio, dessen Tochter Pompejus heurathete, der wider den Cäsar in Afrika kommandirte. — 36) loco opportuno. — 37) st. οὕτως, auch so noch. — 38) die kriegerische

ὀρθίοις κλαγγαῖς, καὶ οἱ κήρυκες καὶ οἱ ἐπιστάται περιθέοντες ἤπειγον. Οἱ δὲ σοβαρῶς ἀλλήλοις ἐπῄεσαν, μετά τε θάμβους καὶ σιωπῆς βαθυτάτης, ὡς πολλῶν ἀγώνων τοιῶνδε ἐμπειροπόλεμοι. πλησιάζουσι δ' αὐτοῖς ἤδη, τόξα καὶ λίθοι πρῶτον ἦν, καὶ τῶν ἱππέων βραχὺ τὰ πεζὰ προλαβόντων πεῖραί τε καὶ ἐπελάσεις ἐπ' ἀλλήλους. καὶ προὔχοντες οἱ τοῦ Πομπηΐου, τὸ δέκατον τέλος ἐκυκλοῦντο. Καίσαρος δὲ τὸ σημεῖον τοῖς ἐφεδρεύουσιν ἄραντος, οἱ μὲν, ἐξαναστάντες, ἐς τοὺς ἵππους ἐχώρουν, ὀρθοῖς ἄνω τοῖς δόρασιν ἐς τὰ πρόσωπα τύπτοντες τοὺς ἐπικαθημένους. οἱ δ', οὐκ ἐνεγκόντες αὐτῶν οὔτε τὴν ἀπόνοιαν, οὔτε τὰς ἐπὶ στόμα καὶ κατ' ὀφθαλμοὺς πληγὰς, ἔφευγον ἀκόσμως. καὶ τὸ ἐνταῦθα πεζὸν, εὐθὺς ἱππέων ἔρημον γενόμενον, ἐκυκλοῦντο οἱ τοῦ Καίσαρος ἱππεῖς, αὐτοὶ δείσαντες περικύκλωσιν.

Cap. XLVI. Πομπήϊος δὲ, πυθόμενος, ἐκέλευε τοῖς πεζοῖς, μήτ' ἐπεκθεῖν ἔτι, μήτ' ἐκτρέχειν ἐκ τῆς φάλαγγος, μηδ' ἀκοντίζειν, ἀλλ' ἐν προβολῇ διαστάντας ἀμύνεσθαι διὰ χειρὸς 39) τοῖς δόρασι τοὺς ἐπιόντας. Καὶ τόδε τινὲς αὐτοῦ τὸ στρατήγημα ἐπαινοῦσιν, ὡς ἄριστον ἐν περικυκλώσει· ὁ δὲ Καῖσαρ ἐν ταῖς Ἐπιστολαῖς καταμέμφεται. τάς τε γὰρ πληγὰς ὑπὸ τῆς βολῆς 40) εὐτονωτέρας γίγνεσθαι, καὶ τοὺς ἄνδρας ὑπὸ τοῦ δρόμου προθυμοτέρους· ἑστῶτας δ' ἀποψύχεσθαί τε, καὶ τοῖς ἐπιθέουσιν εὐβλήτους δι' ἀτρεμίαν, οἷα σκοποὺς, εἶναι. ὃ καὶ τότε γενέσθαι. τὸ γὰρ δέκατον τέλος σὺν αὐτῷ περιδραμεῖν τὰ λαιὰ τοῦ Πομπηΐου, ἔρημα ἱππέων γενόμενα, καὶ πανταχόθεν ἀτρεμοῦντας 41) ἐς τὰ πλευρὰ ἐσακοντίζειν· μέχρι θορυβουμένοις ἐμπεσόντας 42) βίᾳ τρέψασθαι, καὶ τῆς νίκης κατάρξαι. Κατὰ δὲ τὸ ἄλλο πλῆθος, ἦν ἔτι τραυμάτων καὶ φόνων ἔργα πολλα καὶ ποικίλα· βοὴ δὲ οὐδεμία ἐκ τοσῆσδε φάλαγγος τοιάδε δρώσης 43), οὐδ' οἰμωγαὶ τῶν ἀναιρουμένων ἢ πλησσομένων· ἀλλὰ βρυχήματα μόνα καὶ στόνοι, πιπτόντων, ἔνθα συνετάχθησαν, εὐσχημόνως. Οἱ σύμμαχοι δὲ, καθάπερ ἀγῶνα πολέμου θεώμενοι, κατεπλήσσοντο 44), τὴν εὐταξίαν, καὶ οὔτε ἐς τὰς σκηνὰς τοῦ Καίσαρος ἐτόλμων, ὑπὸ θαύματος, (ὀλίγων αὐτὰς καὶ πρεσβυτέρων ἀνδρῶν φυλασσόντων) περιδραμεῖν, οὔτε τι ἄλλο ἢ ἑστῶτες ἐθάμβουν.

Cap. XLVII. Ὡς δὲ ἐνέδωκε τὸ λαιὸν τοῦ Πομπηΐου, αὐτοὶ 45) μὲν καὶ τότε βάδην ὑπεχώρουν ἅμα καὶ συνεπλέκοντο· οἱ δὲ σύμμαχοι προτροπάδην ἔφευγον ἄπρακτοι, βοῶντες, Ἡσσή-

---

Tüchtigkeit der Leute. — 39) cominus. — 40) d. h. diejenigen, welche offensiv zu Werke gehen. — 41) Pompejaner. — 42) Cäsarianer. — 43) δράω. — 44) §. 232. — 45) die Soldaten des Pompejus überhaupt fochten noch

μεθα· καὶ τὰς σκηνὰς σφῶν αὐτοὶ [46]) καὶ τὰ χαρακώματα ὡς ἀλλότρια προλαβόντες, διέσπων καὶ διήρπαζον [47]) ἐς τὴν φυγὴν ὅ τι δύναιντο ἐπάγεσθαι. Ἤδη δὲ καὶ τὸ ἄλλο τῶν Ἰταλῶν ὁπλιτικὸν τῆς ἐπὶ τάδε ἥσσης αἰσθανόμενον, ὑπεχώρει κατὰ πόδα, πρῶτον ἐν κόσμῳ, καὶ ἔτι ἐκ τῶν δυνατῶν ἀμυνόμενοι· ἐπικειμένων δ' αὐτοῖς, ὡς ἐν εὐπραξίᾳ, τῶν πολεμίων, ἐστράφησαν ἐς φυγήν. Καὶ ὁ Καῖσαρ εὐμηχάνως δὴ τότε μάλιστα, ἵνα μὴ συνέλθοιεν αὖθις, μηδὲ τὸ ἔργον γένοιτο μάχης μιᾶς, ἀλλὰ παντὸς τοῦ πολέμου, κήρυκας ἐς τὰς τάξεις πανταχοῦ περιέπεμπεν, οἳ τοῖς νικῶσιν ἐκέλευον ἀψαυστεῖν τῶν ὁμοεθνῶν, ἐπὶ δὲ τοὺς συμμάχους μόνους χωρεῖν. Καὶ τοῖς ἡσσωμένοις προσεπέλαζον, παραινοῦντες [48]) ἀδεῶς ἑστάναι. ἀνήρ τε παρ' ἀνδρὸς ἐκμανθάνων τὸ κήρυγμα, εἱστήκει· καὶ σύμβολον ἤδη τοῦτο τῶν Πομπηΐου στρατιωτῶν ἦν [49]), τὸ ἀδεῶς ἑστάναι [50])· τὰ ἄλλα, ὡς Ἰταλῶν, ὁμοιοτρόπως ἐσκευασμένων τε καὶ φωνὴν ὁμοίαν ἀφιέντων. διεκθέοντες δ' αὐτοὺς οἱ τοῦ Καίσαρος, τοὺς συμμάχους οὐ δυναμένους ἀντέχειν ἀνῄρου· καὶ ὁ πλεῖστος ἐνταῦθα ἐγίγνετο φόνος.

Cap. XLVIII. Πομπήϊος δ' ἐπειδὴ τὴν τροπὴν εἶδεν, ἔκφρων αὐτοῦ γενόμενος, ἀπῄει βάδην ἐς τὸ στρατόπεδον, καὶ παρελθὼν ἐς τὴν σκηνὴν, ἐκαθέζετο ἄναυδος· οἷόν τι καὶ τὸν Τελαμῶνος Αἴαντά φασιν ἐν Ἰλίῳ παθεῖν, ἐν μέσοις πολεμίοις, ὑπὸ θεοβλαβείας. Τῶν δ' ἄλλων ὀλίγοι πάνυ ἐσῄεσαν ἐς τὸ στρατόπεδον. τὸ γὰρ κήρυγμα τοῦ Καίσαρος ἑστάναι [51]) τε ἀκινδύνως ἐποίει, καὶ [52]) παραδραμόντων τῶν πολεμίων, διεσκίδνη [53]) κατὰ μέρος. Ληγούσης δὲ τῆς ἡμέρας, ὁ Καῖσαρ τὸν στρατὸν ἀσχέτως που περιθέων, ἐκέλευε προσπονῆσαι, μέχρι καὶ τὸν χάρακα τοῦ Πομπηΐου λάβοιεν· ἐκδιδάσκων, ὅτι, εἰ συσταῖεν αὖθις οἱ πολέμιοι, μίαν ἡμέραν ἔσονται νενικηκότες· εἰ δὲ τὸ στρατόπεδον αὐτῶν ἕλοιεν, τὸν πόλεμον ἐνὶ τῷδε ἔργῳ κατωρθωκότες ἂν εἶεν. τάς τε οὖν χεῖρας αὐτοῖς ὤρεγε, καὶ πρῶτος ἐξῆρχε δρόμου. Τοῖς δὲ τὰ μὲν σώματα ἔκαμνε, τὴν δὲ ψυχὴν ὅ τε λογισμὸς καὶ ὁ αὐτοκράτωρ συντρέχων ἐκούφιζεν. ᾐώρει δὲ καὶ ἡ τῶν γεγονότων εὐπραξία καὶ ἐλπὶς, ὅτι καὶ τὸν χάρακα αἱρήσουσι καὶ πολλὰ τὰ ἐν αὐτῷ. ἥκιστα δ' ἐν ἐλπίσιν ἢ εὐτυ-

---

im Rückzuge. — 46) ihre eigenen. — 47) um sich dann in die Flucht zu begeben, so schnell ꝛc. — 48) d. h. sie hießen die besiegten Pompejaner. — 49) τὸ ἀδ. ἑστ. συμβ. ἦν. — 50) verbinde mit dem Vorhergehenden: da sie sich übrigens an der Stimme kannten. — 51) sc. die Pompejaner. — 52) weil. — 53) Subj. ist τὸ κήρυγμα. Obj. die

χίαις ἄνθρωποι καμάτων αἰσθάνονται. Οἱ μὲν δὴ καὶ τῷδε προσπεσόντες, ἐπεχείρουν σὺν πολλῇ πρὸς τοὺς ἀπομαχομένους καταφρονήσει. ὁ δὲ Πομπήϊος μαθὼν, ἐξ ἀλλοκότου σιωπῆς τοσοῦτον ἀπέῤῥηξεν· Οὐκοῦν 54) καὶ ἐπὶ τὸν χάρακα ἡμῶν; Καὶ εἰπὼν, τήν τε στολὴν ἐνήλλαξε, καὶ ἵππου ἐπιβὰς σὺν φίλοις τέσσαρσιν, οὐκ ἀνέσχε δρόμου, πρὶν ἀρχομένης ἡμέρας ἐν Λαρίσσῃ γενέσθαι. Ὁ δὲ Καῖσαρ, ὡς ἐπηπείλησε παρατάσσων, ἐν τῷ Πομπηΐου χάρακι ἐστάθμευσε, καὶ αὐτός τε τὴν ἐκείνου βρώμην, καὶ ὁ στρατὸς ἅπας τὴν τῶν πολεμίων ἐδαίσαντο.

Cap. XLIX. Ἀπέθανον δὲ ἑκατέρων, τῶν γε Ἰταλῶν, (οὐ γὰρ δὴ τῶν γε σύμμάχων οὐδ' ἐξαρίθμησις ἐγένετο, ὑπὸ πλήθους καὶ καταφρονήσεως) ἐκ μὲν τοῦ Καίσαρος στρατοῦ, τριάκοντα λοχαγοὶ, καὶ ὁπλῖται διακόσιοι, ἢ (ὡς ἑτέροις δοκεῖ) χίλιοι καὶ διακόσιοι· ἐκ δὲ τῶν Πομπηΐου, βουλευταὶ μὲν δέκα, ὧν ἦν καὶ Λεύκιος Δομίτιος, ὁ αὐτῷ Καίσαρι πεμφθεὶς ἐπὶ τὴν Γαλατίαν διάδοχος· τῶν δὲ καλουμένων ἱππέων, ἀμφὶ τεσσαράκοντα τῶν ἐπιφανῶν· ἐκ δὲ τῆς ἄλλης στρατιᾶς, οἱ μὲν ἐπαΐροντές φασι δισμυρίους ἐπὶ πεντακισχιλίοις. Ἀσίνιος δὲ Πολλίων, ὑπὸ Καίσαρι τῆς μάχης ἐκείνης στρατηγῶν, ἑξακισχιλίους ἀναγράφει νεκροὺς εὑρεθῆναι τῶν Πομπηΐου. Τοῦτο τέλος ἦν τῆς ἀοιδίμου περὶ Φάρσαλον μάχης. Ἀριστεῖα δ' ὁ μὲν Καῖσαρ αὐτὸς καὶ πρῶτα καὶ δεύτερα ἐκ πάντων ἐφέρετο, ὁμολογούμενος ἀριστεῦσαι, καὶ σὺν αὐτῷ τὸ τέλος τὸ δέκατον· τὰ δὲ τρίτα Κράστινος λοχαγὸς, ὃν Καῖσαρ μὲν ἐξιὼν ἐπὶ τὴν μάχην, ἤρετο, ὅ τι προσδοκῴη· ὁ δὲ λαμπρῶς ἀνεβόησε, Νικήσομεν, ὦ Καῖσαρ· κἀμὲ ἢ ζῶντα ἢ νεκρὸν ἀποδέξῃ. ἡ στρατιὰ δ' ἐμαρτύρει, καθάπερ ἔνθουν ἐς ἑκάστην τάξιν διαθέοντα, πολλὰ καὶ λαμπρὰ δράσαι. ἐπεὶ δὲ ζητούμενος ἐν τοῖς νεκροῖς εὑρέθη, τὰ ἀριστεῖα ὁ Καῖσαρ αὐτῷ περιέθηκε καὶ συνέθαψε, καὶ τάφον ἐξαίρετον ἀνέστησεν ἐγγὺς τοῦ πολυανδρίου.

Cap. L. Ὁ δὲ Πομπήϊος ἐκ Λαρίσσης ὁμοίῳ δρόμῳ μέχρι θαλάσσης ἐπειχθεὶς, σκάφους ἐπέβη σμικροῦ, καὶ νεὼς παραπλεούσης ἐπιτυχὼν, ἐς Μιτυλήνην διέπλευσεν· ὅθεν τὴν γυναῖκα Κορνηλίαν ἀναλαβὼν, καὶ τριηρῶν τεσσάρων ἐπιβὰς, αἳ αὐτῷ παρά τε Ῥοδίων καὶ Τυρίων ἀφίκοντο, Κερκύρας μὲν καὶ τότε καὶ Λιβύης ὑπερεῖδεν, ἔνθα αὐτῷ στρατος ἦν ἄλλος πολὺς, καὶ ναυτικὸν ἀκραιφνές. Ἐπὶ δὲ τὴν ἕω φερόμενος, ἐπὶ τὸν Παρθυαῖον 55), ὡς δι' ἐκείνου πάντα αναληψόμενος, τὸ ἐνθύμημα ἐπέκρυπτε, μέχρι περὶ τὴν Κιλικίαν μόλις ἐξέφερε 56) τοῖς φίλοις.

Pompejaner. — 54) ergo et ad castra nostra? — 55) ad regem Parthorum. — 56) sc. τὸ ἐνθύμημα. —

οἱ δὲ αὐτὸν ἠξίουν φυλάσσεσθαι τὸν Παρθυαῖον, ἐπιβεβουλευμένον τε ἔναγχος ὑπὸ Κράσσου, καὶ θυμούμενον ἔτι τῇ Κράσσου συμφορᾷ· μηδ' ἐς ἀκρατεῖς βαρβάρους ἄγειν εὐπρεπῆ γυναῖκα Κορνηλίαν, Κράσσου μάλιστα [57]) γεγενημένην. δεύτερα [58]) δ' αὐτοῦ προθέντος περί τε Αἰγύπτου καὶ Ἰόβα, Ἰόβα μὲν ὑπερεώρων, ὡς ἀδόξου· ἐς δὲ τὴν Αἴγυπτον αὐτῷ συνεφρόνουν, ἐγγύς τε οὖσαν, καὶ μεγάλην ἀρχὴν ἔτι δὲ καὶ εὐδαίμονα, καὶ δυνατὴν ναυσὶ καὶ σίτῳ καὶ χρήμασι. τούς τε βασιλεύοντας αὐτῆς, εἰ καὶ παῖδές εἰσι, πατρικοὺς εἶναι τῷ Πομπηΐῳ φίλους. Ὁ μὲν δὴ διὰ τάδε ες τὴν Αἴγυπτον ἔπλει.

Cap. LI. Ἄρτι δ' ἐκπεσούσης ἀπ' Αἰγύπτου Κλεοπάτρας, ἣ τῷ ἀδελφῷ συνῆρχε, καὶ στρατὸν ἀμφὶ τὴν Συρίαν ἀγειρούσης, Πτολεμαῖος, ὁ τῆς Κλεοπάτρας ἀδελφὸς, ἀμφὶ τὸ Κάσσιον [59]) τῆς Αἰγύπτου ταῖς Κλεοπάτρας ἐσβολαῖς ἐφήδρευε· καί πως κατὰ δαίμονα ἐς τὸ Κάσσιον τὸ πνεῦμα τὸν Πομπήϊον κατέφερε. Θεασάμενος δὲ στρατὸν ἐπὶ τῆς γῆς πολὺν, ἔστησε τὸν πλοῦν, καὶ εἴκασεν ὅπερ ἦν, παρεῖναι τὸν βασιλέα. πέμψας τε ἔφραζε περὶ ἑαυτοῦ καὶ τῆς τοῦ πατρὸς φιλίας. Ὁ δὲ ἦν μὲν ἐπὶ τρισκαίδεκα ἔτη μάλιστα γεγονώς· ἐπετρόπευον δ' αὐτῷ, τὴν μὲν στρατιὰν Ἀχιλλᾶς, τὰ δὲ χρήματα Ποθεινὸς εὐνοῦχος· οἳ βουλὴν προυτίθεντο περὶ τοῦ Πομπηΐου. καὶ παρὼν ὁ Σάμιος Θεόδοτος ὁ ῥήτωρ, διδάσκαλος ὢν τοῦ παιδὸς, ἀθέμιστον εἰσηγεῖτο ἔργον, ἐνεδρεῦσαι καὶ κτεῖναι Πομπήϊον, ὡς χαριουμένους Καίσαρι. κυρωθείσης δὲ τῆς γνώμης, σκάφος εὐτελὲς ἐπ' αὐτὸν ἐπέμπετο, ὡς τῆς θαλάσσης οὔσης ἁλιτενοῦς, καὶ μεγάλαις ναυσὶν οὐκ εὐχεροῦς· ὑπηρέται τέ τινες τῶν βασιλικῶν ἐνέβαινον ἐς τὸ σκάφος· καὶ Σεμπρώνιος, ἀνὴρ Ῥωμαῖος, τότε μὲν τῷ βασιλεῖ, πάλαι δὲ αὐτῷ Πομπηΐῳ, στρατευσάμενος, δεξιὰν ἔφερε παρὰ τοῦ βασιλέως τῷ Πομπηΐῳ, καὶ ἐκέλευεν ὡς ἐς φίλον τὸν παῖδα διαπλεῦσαι. ἅμα δὲ ταῦτ' ἐγίγνετο, καὶ ὁ στρατὸς, ὥσπερ ἐπὶ τιμῇ τοῦ Π μπηΐου, παρὰ τὸν αἰγιαλὸν ἐξετάσσετο ἅπας· καὶ ὁ βασιλεὺς ἐν μέσῳ τῇ φοινικίδι κατάδηλος ἦν περικειμένη.

Cap. LII. Ὁ δὲ Πομπήϊος ὑπώπτευε μὲν ἅπαντα, καὶ τὴν παράταξιν τοῦ στρατοῦ, καὶ τὴν τοῦ σκάφους εὐτέλειαν, καὶ τὸ μὴ τὸν βασιλέα αὐτόν οἱ παραγενέσθαι, μηδὲ τῶν ἐπιφανῶν τινας πέμψαι. τοσοῦτο δ' ἐκ τῶν Σοφοκλέους ἰαμβείων πρὸς ἑαυτὸν ἀνενεγκὼν,

Ὅστις γὰρ ὡς τύραννον ἐμπορεύεται,
κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ·

---

57) da sie zuvor verheurathet war ꝛc. — 58) hernach. — 59) sc. ὄρος. —

ἐνέβαινεν ἐς τὸ σκάφος. Καὶ ἐν τῷ διάπλῳ σιωπώντων ἁπάντων, ἔτι μᾶλλον ὑπώπτευε· καὶ, τὸν Σεμπρώνιον εἴτε ἐπιγιγνώσκων Ῥωμαῖον ὄντα καὶ ἐστρατευμένον ἑαυτῷ, εἴτε 60) τοπάζων ἐκ τοῦ μόνον ἑστάναι, κατὰ δὴ τὴν στρατιωτικὴν ἄρα διδασκαλίαν οὐ συνεδρεύοντα αὐτοκράτορι, ἐπιστραφεὶς ἐς αὐτὸν εἶπεν· Ἆρα σὲ γιγνώσκω, συστρατιῶτα; Καὶ ὃς αὐτίκα μὲν ἐπένευσεν, ἀποστραφέντα δ' εὐθὺς ἐπάταξε πρῶτος, εἶθ' ἕτεροι. Καὶ τὸ μὲν γύναιον τοῦ Πομπηΐου καὶ οἱ φίλοι, ταῦτα μακρόθεν ὁρῶντες, ἀνῴμωζόν τε, καὶ χεῖρας ἐς θεοὺς ἐκδίκους σπονδῶν ἀνίσχοντες, ἀπέπλεον τάχιστα, ὡς ἐκ πολεμίας.

Πομπηΐου δὲ τὴν μὲν κεφαλὴν ἀποτεμόντες οἱ περὶ Ποθεινὸν, ἐφύλασσον Καίσαρι, ὡς ἐπὶ μεγίσταις ἀμοιβαῖς. ὁ δὲ αὐτοὺς ἠμύνατο ἀξίως τῆς ἀθεμιστίας. Τόδε μὲν δὴ τοῦ βίου τέλος ἦν Πομπηΐῳ, τῷ μεγίστους πολέμους ἀνύσαντι, καὶ μέγιστα τὴν Ῥωμαίων ἀρχὴν ὠφελήσαντι, καὶ Μεγάλῳ διὰ ταῦτα ὀνομασθέντι· καὶ οὐκ ἡσσηθέντι ποτὲ πρότερον, ἀλλὰ ἀησσήτῳ καὶ εὐτυχεστάτῳ ἐξέτι νέου 61) γενομένῳ· ἀπὸ γὰρ τριῶν καὶ εἴκοσιν ἐτῶν οὐ διέλιπεν, ἐς ὀκτὼ καὶ πεντήκοντα, τῇ μὲν ἰσχύϊ μοναρχικῶς δυναστεύων, τῇ δὲ δόξῃ, διὰ τὸν Καίσαρος ζῆλον, δημοτικῶς νομιζόμενος ἄρχειν.

Cap. LIII. Λεύκιος δὲ Σκιπίων, ὁ κηδεστὴς τοῦ Πομπηΐου, καὶ ὅσοι ἄλλοι τῶν ἐπιφανῶν ἐκ τοῦ κατὰ Φάρσαλον ἔργου διεπεφεύγεσαν, ἐπὶ Κερκύρας ἠπείγοντο πρὸς Κάτωνα, ἑτέρου στρατοῦ καὶ τριακοσίων τριηρῶν ἄρχειν ὑπολελειμμένον 62), εὐβουλότερον οἶδε τοῦ Πομπηΐου. Καὶ αὐτῶν οἱ περιφανέστατοι, νειμάμενοι τὸ ναυτικὸν, Κάσσιος μὲν ἐς τὸν Πόντον ἔπλει πρὸς Φαρνάκην, ὡς ἀναστήσων αὐτὸν ἐπὶ Καίσαρα· Σκιπίων δὲ καὶ Κάτων ἐς Λιβύην ἔπλεον, Οὐάρῳ τε πίσυνοι καὶ τῷ μετὰ Οὐάρου στρατῷ, καὶ Ἰόβᾳ Νομάδων βασιλεῖ συμμαχοῦντι. Πομπήϊος δὲ ὁ τοῦ Πομπηΐου πρεσβύτερος υἱὸς, καὶ Λαβιηνὸς σὺν αὐτῷ, καὶ Σκάπλας 63), τὸ μέρος ἔχοντες, ἠπείγοντο ἐς Ἰβηρίαν, καὶ αὐτὴν ἀποστήσαντες ἀπὸ τοῦ Καίσαρος, στρατὸν ἄλλον ἐξ αὐτῶν Ἰβήρων τε καὶ Κελτιβήρων καὶ θεραπόντων συνέλεγον, ἔν τε παρασκευῇ μείζονι ἐγίγνοντο. Τηλικαῦται δυνάμεις τῆς Πομπηΐου παρασκευῆς ἦσαν ὑπόλοιποι, καὶ αὐτῶν ὑπὸ θεοβλαβείας ὑπεριδὼν ὁ Πομπήϊος ἔφυγε. Τῶν δ' ἐν Λιβύῃ Κάτωνα σφῶν στρατηγεῖν αἱρουμένων, ὁ Κάτων οὐχ ὑπέστη, παρόντων ἀνδρῶν ὑπάτων, οἳ κατ' ἀξίωσιν ἐπρέσβευον, αὐτοῦ μόνην ἀρχὴν ἄρξαντος ἐν Ῥώμῃ τὴν στρατηγίδα. Γίγνεται μὲν δὴ Λεύκιος Σκιπίων αὐτο-

---

60) sc. dieses. — 61) inde ab adolescentia. — 62) zu Κάτωνα. — 63) Scapula. —

κράτωρ, καὶ στρατὸς κἀνταῦθα πολὺς ἠθροίζετο καὶ ἐγυμνάζετο. καὶ δύο αἵδε μάλιστα ἀξιόλογοι παρασκευαὶ, περὶ Λιβύην καὶ Ἰβηρίαν, ἐπὶ Καίσαρα συνεκροτοῦντο.

Cap. LIV. Αὐτὸς δ' ἐπὶ τῇ νίκῃ δύο μὲν ἡμέρας ἐν Φαρσάλῳ διέτριψε, θύων, καὶ τὸν στρατὸν ἐκ τῆς μάχης ἀναλαμβάνων. ἔνθα καὶ Θεσσαλοὺς ἐλευθέρους ἠφίει, συμμαχήσαντάς οἱ· καὶ Ἀθηναίοις αἰτήσασι συγγνώμην ἐπεδίδου, καὶ ἐπεῖπε· Ποσάκις ὑμᾶς ὑπὸ σφῶν αὐτῶν ἀπολλυμένους ἡ δόξα τῶν προγόνων περισώσει; Τῇ τρίτῃ δ' ἐξήλαυνεν ἐπὶ τὴν ἕω κατὰ πύστιν τῆς Πομπηΐου φυγῆς· καὶ τὸν Ἑλλήσποντον, ἀπορίᾳ τριηρῶν, σκάφεσιν ἐπεραιοῦτο μικροῖς. Κάσσιος δὲ σὺν τῷ μέρει τῶν τριηρῶν ἐπιφαίνεται μεσοποροῦντι, πρὸς Φαρνάκην ἐπειγόμενος· καὶ δυνηθεὶς ἂν πολλαῖς τριήρεσι κατὰ σκαφῶν μικρῶν, ὑπὸ δέους τῆς Καίσαρος εὐτυχίας, περιπύστου δὴ καὶ ἐπιφόβου τότε οὔσης, ἐξεπλάγη· καὶ νομίσας οἱ τὸν Καίσαρα ἐπίτηδες ἐπιπλεῖν, τὰς χεῖρας ὤρεγεν ἐς αὐτὸν ἀπὸ τριηρῶν ἐς σκάφη, καὶ συγγνώμην ᾔτει, καὶ τὰς τριήρεις παρεδίδου. Τοσοῦτον ἴσχυεν ἡ δόξα τῆς Καίσαρος εὐπραγίας.

Cap. LV. Διασωθεὶς δ' οὕτω παραδόξως ὁ Καῖσαρ, καὶ τὸν Ἑλλήσποντον περαιωθεὶς, Ἴωσι μὲν καὶ Αἰολεῦσι, καὶ ὅσα ἄλλα ἔθνη τὴν μεγάλην Χεῤῥόνησον οἰκοῦσι, καὶ καλοῦσιν αὐτὰ ἑνὶ ὀνόματι Ἀσίαν τὴν κάτω, συνεγίνωσκε, πρεσβευομένοις ἐς αὐτὸν καὶ παρακαλοῦσι. πυθόμενος δὲ Πομπήϊον ἐπ' Αἰγύπτου φέρεσθαι, διέπλευσεν ἐς Ῥόδον. καὶ οὐδ' ἐνταῦθα τὸν στρατὸν αὐτοῦ κατὰ μέρη προσιόντα περιμείνας, ἐς τὰς Κασσίου καὶ Ῥοδίων τριήρεις ἐνέβη σὺν τοῖς παροῦσιν. οὐδενί τε ἐκφήνας ὅπῃ 64) τὸν πλοῦν ποιήσεται, περὶ ἑσπέραν ἀνήγετο· ἐπαγγείλας τοῖς λοιποῖς 65) κυβερνήταις, πρὸς τὸν λαμπτῆρα τῆς ἑαυτοῦ νεὼς, καὶ μεθ' ἡμέραν πρὸς τὸ σημεῖον εὐθύνειν· τῷ δ' αὐτοῦ κυβερνήτῃ 66), πολὺ τῆς γῆς ἀποσχὼν, προσέταξεν ἐς Ἀλεξάνδρειαν φέρεσθαι. Καὶ ὁ μὲν τρισὶν ἡμέραις πελάγιος ἀμφὶ τὴν Ἀλεξάνδρειαν ἦν. ἐσδέχονται δ' αὐτὸν οἱ τοῦ βασιλέως ἐπιτροπεύοντες, ἔτι τοῦ βασιλέως ἀμφὶ τὸ Κάσσιον ὄντος. Καὶ πρῶτα μὲν ἀπραγμοσύνην τινὰ διὰ τὴν ὀλιγότητα τῶν συνόντων ὑπεκρίνετο· φιλοφρόνως τε τοὺς ἐντυγχάνοντας ἐξεδέχετο· καὶ τὴν πόλιν περιϊὼν τοῦ κάλλους ἐθαύμαζε, καὶ τῶν 67) φιλοσόφων μετὰ τοῦ πλήθους ἑστὼς ἠκροᾶτο. ὅθεν αὐτῷ χάρις τε καὶ δόξα ἀγαθὴ, ὡς ἀπράγμονι, παρὰ τοῖς Ἀλεξανδρεῦσιν ἐφύετο.

Cap. LVI. Ἐπεὶ δ' ὁ στρατὸς αὐτῷ κατέπλευσε, Ποθεινὸν

---

64) §. 308, 1. cf. §. 290, A. 4. — 65) die ihm nachfolgten. — 66) d. i. erst, da er ꝛc. — 67) §. 212, A. 1. —

μὲν καὶ Ἀχιλλᾶν ἐκόλασε θανάτῳ τῆς ἐς τὸν Πομπήϊον παρανομίας· Θεόδοτον δὲ διαδράντα Κάσσιος ὕστερον ἐκρέμασεν 68), εὑρὼν ἐν Ἀσίᾳ. Θορυβούντων δ' ἐπὶ τῷδε τῶν Ἀλεξανδρέων, καὶ τῆς στρατιᾶς τῆς βασιλικῆς ἐπ' αὐτὸν ἰούσης, ἀγῶνες αὐτῷ ποικίλοι περὶ τὸ βασίλειον ἐγένοντο, καὶ ἐν τοῖς παρ' αὐτὸ αἰγιαλοῖς. ἔνθα καὶ φεύγων ἐς τὴν θάλασσαν ἐξήλατο, καὶ ἐς πολὺ ἐν τῷ βυθῷ διενήξατο. καὶ τὴν χλαμύδα αὐτοῦ λαβόντες οἱ Ἀλεξανδρεῖς περὶ τρόπαιον ἐκρέμασαν. Τελευταῖον δ' ἀνὰ τὸν Νεῖλον αὐτῷ γίγνεται πρὸς τὸν βασιλέα ἀγὼν, ᾧ δὴ καὶ μάλιστα ἐκράτει. Καὶ ἐς ταῦτα διετρίφθησαν αὐτῷ μῆνες ἐννέα, μέχρι Κλεοπάτραν ἀντὶ τοῦ ἀδελφοῦ βασιλεύειν ἀπέφηνεν Αἰγύπτου. καὶ τὸν Νεῖλον ἐπὶ τετρακοσίων νεῶν, τὴν χώραν θεώμενος, περιέπλει μετὰ τῆς Κλεοπάτρας. Τὴν δὲ κεφαλὴν τοῦ Πομπείου προσφερομένην οὐχ ὑπέστη 69), ἀλλὰ προσέταξε ταφῆναι, καί τι αὐτῇ τέμενος βραχὺ, πρὸ τῆς πόλεως περιτεθὲν, Νεμέσεως τέμενος ἐκαλεῖτο.

Cap. LVII. Τοσάδε μὲν δὴ Καῖσαρ ἐργασάμενος ἐν Ἀλεξανδρείᾳ, διὰ Συρίας ἐπὶ Φαρνάκην ἠπείγετο. ὁ δὲ ἤδη μὲν εἴργαστο πολλὰ, καὶ περιεσπάκει τινὰ Ῥωμαίων χωρία, καὶ Δομιτίῳ Καίσαρος στρατηγῷ συνενεχθεὶς ἐς μάχην, ἐνενικήκει πάνυ λαμπρῶς· καὶ τῷδε μάλιστα ἐπαρθεὶς, Ἀμισὸν πόλιν ἐν τῷ Πόντῳ, ῥωμαΐζουσαν, ἐξηνδραπόδιστο, καὶ τοὺς παῖδας αὐτῶν τομίας ἐπεποίητο πάντας. Προσιόντος δὲ τοῦ Καίσαρος ἐταράσσετο καὶ μετεγίγνωσκε, καὶ ἀπὸ σταδίων διακοσίων γενομένῳ πρέσβεις ἔπεμπεν ὑπὲρ εἰρήνης, στέφανόν τε χρύσειον αὐτῷ φέροντας, καὶ ἐς γάμον, ὑπ' ἀνοίας, ἐγγυῶντας Καίσαρι τὴν Φαρνάκους θυγατέρα. Ὁ δ' αἰσθόμενος ὧν φέρουσι, προῆλθε μετὰ τοῦ στρατοῦ, καὶ ἐς τὸ πρόσθεν ἐβάδιζε, λεσχηνεύων τοῖς πρέσβεσι· μέχρι προσπελάσας τῷ χάρακι τοῦ Φαρνάκους, καὶ τοσόνδε εἰπών· Οὐ γὰρ αὐτίκα δώσει δίκην ὁ πατροκτόνος; ἐπὶ τὸν ἵππον ἀνεπήδησε, καὶ εὐθὺς ἐκ πρώτης βοῆς τρέπεταί τε τὸν Φαρνάκην, καὶ πολλοὺς ἔκτεινε, σὺν χιλίοις που μάλιστα ἱππεῦσιν ὢν, τοῖς πρώτοις αὐτῷ συνδραμοῦσιν. ὅτε καί φασιν αὐτὸν εἰπεῖν· Ὦ μακάριε Πομπήϊε, τοιούτοις ἄρα, κατὰ Μιθριδάτην τὸν τοῦδε πατέρα, πολεμῶν ἀνδράσι, μέγας τε ἐνομίσθης καὶ Μέγας ἐπεκλήθης. Ἐς δὲ Ῥώμην περὶ τῆσδε τῆς μάχης ἐπέστελλεν 70)· ΕΓΩ ΔΕ ΗΛΘΟΝ, ΕΙΔΟΝ, ΕΝΙΚΗΣΑ.

Cap. LVIII. Μετὰ δὲ τοῦτο Φαρνάκης μὲν, ἀγαπῶν, ἐς τὴν ἀρχὴν Βοσπόρου, τὴν δεδομένην οἱ παρὰ Πομπηΐου, συνέ-

68) alii: in crucem egit. — 69) aversabatur. — 70) veni, vidi, vici. —

φυγεν. Ὁ δὲ Καῖσαρ, οὐ σχολὴν ἄγων περὶ μικρὰ τρίβεσθαι, τοσῶνδε πολέμων αὐτὸν περιμενόντων, ἐς τὴν Ἀσίαν μετῆλθε, καὶ, παροδεύων αὐτὴν, ἐχρημάτιζε ταῖς πόλεσιν, ἐνοχλουμέναις ὑπὸ τῶν μισθουμένων τοὺς φόρους. Πυθόμενος δ', ἐν Ῥώμῃ στάσιν εἶναι, καὶ Ἀντώνιον τὸν ἵππαρχον αὐτοῦ τὴν ἀγορὰν στρατιᾷ φυλάσσειν, πάντα μεθεὶς, ἐς Ῥώμην ἠπείγετο. Ὡς δ' ἦλθεν, ἡ μὲν στάσις ἡ πολιτικὴ κατεπαύετο· ἑτέρα δ' ἐπ' αὐτὸν ἀνίστατο τοῦ στρατοῦ, ὡς [71]) οὔτε τὰ ἐπηγγελμένα σφίσιν ἐπὶ τῷ κατὰ Φάρσαλον ἔργῳ λαβόντες, οὔτε ἐννόμως ἔτι βραδύνοντες ἐν τῇ στρατείᾳ· ἀφεθῆναί τε πάντες ἐπὶ τὰ αὐτῶν ἠξίουν. Ὁ δ' ἔπεμπεν, ἄλλας ὁρίζων ἑκάστῳ χιλίας δραχμάς. οἱ δ' ἔμπαλιν αὐτὸν οὐχ ὑπισχνεῖσθαι μᾶλλον, ἢ αὐτίκα διδόναι πάντα, ἐκέλευον· καὶ περὶ τῶνδε Σαλούστιον Κρίσπον πεμφθέντα πρὸς αὐτοὺς ὀλίγου καὶ διέφθειραν, εἰ μὴ διέφυγε. Πυθόμενος δ' ὁ Καῖσαρ, τέλος μὲν ἄλλο στρατιωτῶν, οἳ τὴν πόλιν ἐξ Ἀντωνίου παρεφύλασσον, περιέστησε τῇ οἰκίᾳ καὶ ταῖς τῆς πόλεως ἐξόδοις, δείσας περὶ ἁρπαγῆς. αὐτὸς δὲ, πάντων δεδιότων, καὶ παραινούντων αὐτῷ τὴν ὁρμὴν τοῦ στρατοῦ φυλάξασθαι, μάλα θρασέως αὐτοῖς ἔτι στασιάζουσιν ἐς τὸ Ἄρειον πεδίον ἐπῆλθεν οὐ προμηνύσας, καὶ ἐπὶ βήματος ὤφθη.

Cap. LIX. Οἱ δὲ σὺν θορύβῳ τε ἄνοπλοι συνέτρεχον, καὶ, ὡς ἔθος, ἄφνω φανέντα σφίσιν ἠσπάζοντο αὐτοκράτορα. Κελεύσαντος δ' ὅ τι θέλοιεν εἰπεῖν, περὶ μὲν τῶν δωρεῶν ἐς ὄψιν εἰπεῖν αὐτοῦ παρόντος οὐδὲ ἐτόλμησαν, ὑπὸ τῆς αὐτῆς ἐκπλήξεως· ὡς δὲ μετριώτερον [72]), ἀφεθῆναι τῆς στρατείας ἀνεβόησαν· ἐλπίσαντες, στρατοῦ δεόμενον ἐς τοὺς ὑπολοίπους πολέμους αὐτῷ, ἐρεῖν τι καὶ περὶ τῶν δωρεῶν. Ὁ δὲ παρὰ τὴν ἁπάντων δόξαν, οὐδὲ μελλήσας, ἀπεκρίνατο, Ἀφίημι. Καταπλαγέντων δ' αὐτῶν ἔτι μᾶλλον, καὶ σιωπῆς βαθυτάτης γενομένης, ἐπεῖπε· Καὶ δώσω γε ὑμῖν τὰ ἐπηγγελμένα ἅπαντα, ὅταν θριαμβεύσω μεθ' ἑτέρων. Ἀδοκήτου δ' αὐτοῖς ἅμα καὶ τοῦδε καὶ φιλανθρώπου φανέντος, αἰδὼς αὐτίκα πᾶσιν ἐνέπιπτε, καὶ λογισμὸς, μετὰ ζήλου, εἰ δόξουσι μὲν αὐτοὶ καταλιπεῖν σφῶν τὸν αὐτοκράτορα ἐν μέσοις τοσοῖσδε πολεμίοις, θριαμβεύσουσι δ' ἀντ' αὐτῶν ἕτεροι· καὶ σφεῖς τῶν ἐν Λιβύῃ κερδῶν ἐκπεσοῦνται, μεγάλων ἔσεσθαι νομιζομένων· ἐχθροί τε ὁμοίως αὐτοῦ τε Καίσαρος ἔσονται καὶ τῶν πολεμίων. Δείσαντες οὖν, ἔτι μᾶλλον ἡσύχαζον ἐξ ἀπορίας, ἐλπίζοντες ἐνδώσειν τι καὶ τὸν Καίσαρα, καὶ

---

71) aus dem Grunde, weil sie nicht bekommen hätten, und bleiben müßten ꝛc. — 72) d. h. um das Gelindere zu verlangen ꝛc., quod modestius videbatur etc. —

μεταγνώσεσθαι διὰ τὴν ἐν χερσὶ [73]) χρείαν. Ὁ δ᾽ ἀνθησύχαζε, καὶ τῶν φίλων αὐτὸν παρακαλούντων ἐπιφθέγξασθαί τι πρὸς αὐτοὺς ἄλλο, καὶ μὴ βραχεῖ καὶ αὐστηρῷ λόγῳ πολλὰ συνεστρατευμένους ἐγκαταλιπεῖν, ἀρχόμενος λέγειν, πολίτας ἀντὶ στρατιωτῶν προσεῖπεν· ὅπερ ἐστὶ σύμβολον ἀφειμένων τῆς στρατείας, καὶ ἰδιωτευόντων.

Cap. LX. Οἱ δ᾽ οὐκ ἐνεγκόντες ἔτι ἀνέκραγον, μετανοεῖν· καὶ παρεκάλουν αὐτῷ συστρατεύεσθαι. ἀποστρεφομένου τε τοῦ Καίσαρος καὶ ἀπιόντος ἀπὸ τοῦ βήματος, οἵδε, σὺν ἐπείξει πλέονι βοῶντες, ἐνέκειντο παραμεῖναί τε αὐτὸν, καὶ κολάζειν σφῶν τοὺς ἁμαρτόντας. ὁ δ᾽ ἔτι μέν τι διέτριψεν, οὔτε ἀπιὼν, οὔτε ἐπανιὼν, ὑποκρινόμενος ἀπορεῖν. ἐπανελθὼν δ᾽ ὅμως, ἔφη· κολάσειν μὲν αὐτῶν οὐδένα, ἄχθεσθαι δ᾽ ὅτι καὶ τὸ δέκατον τέλος, ὃ προετίμησεν αἰεὶ, τοιαῦτα θορυβεῖ. καὶ τόδε, ἔφη, μόνον ἀφίημι τῆς στρατείας· δώσω δὲ καὶ τῷδε ὅμως τὰ ὑπεσχημένα ἅπαντα, ἐπανελθὼν ἐκ Λιβύης. Δώσω δὲ καὶ γῆν ἅπασιν, ἐκτελεσθέντων τῶν πολέμων· οὐ καθάπερ Σύλλας, ἀφαιρούμενος ἑτέρων ἣν ἔχουσι, καὶ τοῖς ἀφαιρεθεῖσι τοὺς λαβόντας συνοικίζων, καὶ ποιῶν ἀλλήλοις ἐς ἀεὶ πολεμίους, ἀλλὰ τὴν τοῦ δήμου γῆν [74]) ἐπινέμων καὶ τὴν ἐμαυτοῦ, καὶ τὰ δέοντα προσωνούμενος. Κρότου δὲ καὶ εὐφημίας παρὰ πάντων γενομένης, τὸ δέκατον ὑπερήλγει τέλος, ἐς μόνον αὐτὸ τοῦ Καίσαρος ἀδιαλλάκτου φανέντος· καὶ σφᾶς αὐτὸν ἠξίουν διακληρῶσαί τε, καὶ τὸ μέρος θανάτῳ ζημιῶσαι. ὁ δὲ οὐδὲν αὐτοὺς ὑπερεθίζειν ἔτι δεόμενος ἀκριβῶς μετανοοῦντας, συνηλλάσσετο ἅπασι, καὶ εὐθὺς ἐπὶ τὸν ἐν Λιβύῃ πόλεμον ἐξῄει.

Cap. LXI. Διαβαλὼν δ᾽ ἐκ Ῥηγίου τὸν πορθμὸν ἐπὶ Μεσσήνης, ἐς Λιλύβαιον ἦλθε. καὶ πυθόμενος, Κάτωνα μὲν τὴν παρασκευὴν τοῦ πολέμου ναυσὶ καὶ πεζῶν τινι μέρει φρουρεῖν ἐν Ἰτύκῃ, μετὰ τῶν τριακοσίων, οὓς ἀπὸ σφῶν [75]) ἐκ πολλοῦ προβούλους ἐπεποίηντο τοῦ πολέμου, καὶ [76]) σύγκλητον ἐκάλουν· τὸν δ αὐτοκράτορα Λεύκιον Σκιπίωνα καὶ τοὺς ἀρίστους ἐν Ἀδρυμητῷ στρατεύειν· διέπλευσεν ἐπὶ τὸν Σκιπίωνα. καὶ αὐτὸν οἰχόμενον ἐς Ἰόβαν καταλαβὼν, παρέτασσεν ἐς μάχην παρ᾽ αὐτὸ τοῦ Σκιπίωνος τὸ στρατόπεδον, ὡς ἐν καιρῷ συνοισόμενος τοῖς πολεμίοις χωρὶς αὐτοκράτορος οὖσιν. ἀντεπῄεσαν δ᾽ αὐτῷ Λαβιηνός τε καὶ Πετρήϊος, οἱ τοῦ Σκιπίωνος ὑποστράτηγοι· καὶ ἐκράτουν τῶν Καίσαρος παρὰ πολὺ, καὶ τραπέντας ἐδίωκον σοβαρῶς μετὰ καταφρονήσεως, μέχρι Λαβιηνὸν μὲν ὁ ἵππος ἐς τὴν γα-

---

73) instans. — 74) agrum publicum. — 75) sie hatten sich von selbst gemacht. — 76) welche sie. —

στέρα πληγεὶς ἀπεσείσατο, καὶ αὐτὸν οἱ παρασπισταὶ συνήρπαζον· ὁ δὲ Πετρήϊος [77]), ὡς ἀκριβῆ τοῦ στρατοῦ λαβὼν πεῖραν, καὶ νικήσων ὅτε βούλεται, διέλυε [78]) τὸ ἔργον· ἐπειπὼν τοῖς ἀμφ' αὐτόν· Μὴ ἀφελώμεθα τὴν νίκην τὸν αὐτοκράτορα ἡμῶν Σκιπίωνα.

Οὐ πολὺ δὲ ὕστερον, αὐτοῦ τε Σκιπίωνος ὀκτὼ τέλεσι πεζῶν καὶ ἱππέων δύο μυριάσιν (ὧν οἱ πολλοὶ Λίβυες ἦσαν) πελτασταῖς τε πολλοῖς καὶ ἐλέφασιν ἐς τριάκοντα προσδοκωμένου παρέσεσθαι, σὺν Ἰόβᾳ τῷ βασιλεῖ, καὶ τῷδε ἄγοντι πεζοὺς ἄλλους ἀμφὶ τρισμυρίους, καὶ ἱππέας Νομάδας ἐς δισμυρίους, καὶ ἀκοντιστὰς πολλούς, καὶ ἐλέφαντας ἑξήκοντα ἑτέρους· ἡ στρατιὰ τοῦ Καίσαρος ἐδείμαινε, καὶ ἐν σφίσιν αὐτοῖς ἐθορυβοῦντο, κατά τε πεῖραν ὧν ἤδη πεπόνθεσαν, καὶ κατὰ δόξαν τῶν ἐπιόντων τοῦ τε πλήθους, καὶ ἀρετῆς μάλιστα τῶν Νομάδων ἱππέων. ὅ τε τῶν ἐλεφάντων πόλεμος, ἀήθης σφίσιν ὤν, ἐξέπλησσε [79]). Βόκχου δ', ἑτέρου Μαυρουσίων [80]) δυνάστου, Κίρταν (ἣ βασίλειον ἦν Ἰόβα) καταλαβόντος· ὁ μὲν Ἰόβας, ἐξαγγελθέντος αὐτῷ τοῦδε, ἐς τὰ οἰκεῖα μάλιστα ἀνεζεύγνυ μετὰ τοῦ ἰδίου στρατοῦ, τριάκοντα ἐξ αὐτοῦ μόνους ὑπολιπὼν ἐλέφαντας τῷ Σκιπίωνι. Ἡ δὲ στρατιὰ τοῦ Καίσαρος ἐς τοσοῦτον ἀνεθάῤῥησεν, ὡς τὸ πέμπτον τέλος, αἰτῆσαν ἀντιταχθῆναι τοῖς ἐλέφασι, κρατῆσαι [81]) πάνυ καρτερῶς.

Μακρᾶς δὲ καὶ ἐπιπόνου κατὰ πάντα τὰ μέρη τῆς μάχης καὶ πολυτρόπου γενομένης, περὶ ἑσπέραν μόλις ὁ Καῖσαρ ἐνίκα· καὶ τὸ στρατόπεδον εὐθὺς ἐξῄρει τὸ τοῦ Σκιπίωνος, οὐδὲν ἀνιεὶς (οὐδ' ἐν νυκτὶ) τῆς νίκης, μέχρι τὸ σύμπαν ἐξεργάσασθαι. οἱ δ' ἐχθροὶ κατ' ὀλίγους [82]), ὅπῃ δύναιντο, διέφευγον· καὶ ὁ Σκιπίων αὐτὸς ἅμα Ἀφρανίῳ, πάντα μεθεὶς, ἔφευγεν ἀνὰ τὸ πέλαγος ἐπὶ δώδεκα ἀφράκτων. Ὧδε μὲν δὴ καὶ ὅδε ὁ στρατὸς, ἐς ὀκτὼ μυριάδας μάλιστα συνελθὼν, ἔκ τε πολλοῦ γεγυμνασμένος, καὶ ἐκ τῆς προτέρας μάχης ἐν ἐλπίδι καὶ θάρσει γενόμενος, δευτέρᾳ τῇδε συμβολῇ συνετρίβετο ἀθρόως.

Cap. LXII. Ἐξαγγελθέντων δὲ τούτων ἐς Ἰτύκην τρίτῃ μάλιστα ἡμέρᾳ, καὶ τοῦ Καίσαρος εὐθὺς ἐπὶ τὴν Ἰτύκην ἰόντος, ἐγίγνετο φυγὴ πάντων. καὶ οὐδένα κατεῖχεν ὁ Κάτων, ἀλλὰ καὶ ναῦς ἐδίδου τοῖς αἰτοῦσι τῶν ἐπιφανῶν· αὐτὸς δ' εὐσταθῶς

---

77) er glaubte, dieser Sieg sey Beweis genug für künftige. — 78) setzte die Verfolgung nicht fort. — 79) Da aber Bocchus. — 80) Maurorum. — 81) und daß sie siegten. — 82) passim. —

ὑπέμενε· καὶ τοῖς Ἰτυκαίοις, ὑπισχνουμένοις πρὸ [83]) ἑαυτῶν ὑπὲρ ἐκείνου δεήσεσθαι, ἐπιμειδιῶν ἀπεκρίνατο, οὐ δεήσειν αὐτῷ πρὸς Καίσαρα διαλλακτῶν, καὶ τοῦτο εἰδέναι καὶ τὸν Καίσαρα καλῶς. Σημηνάμενος δὲ τοὺς θησαυροὺς ἅπαντας, καὶ συγγραφὰς ὑπὲρ ἑκάστου τοῖς Ἰτυκαίων ἄρχουσιν ἐπιδοὺς, περὶ ἑσπέραν ἀμφὶ λουτρὰ καὶ δεῖπνον ἦν· καθεζόμενός τε ἐγεύετο, ὥσπερ εἴθιστο, ἐξ οὗ Πομπήϊος ἀνήρητο· οὐδέν τε τῶν συνήθων ἐναλλάσσων, οὐδ᾽ ἐλάσσω προσφερόμενος ἢ πλείω, συνελεσχήνευε τοῖς παροῦσι περὶ τῶν ἐκπεπλευκότων· καὶ ἠρώτα περὶ τοῦ πνεύματος, εἰ κατὰ πρύμνην ἔσοιτο αὐτοῖς· καὶ τοῦ διαστήματος, εἰ φθάσουσι πόῤῥω γενέσθαι; πρὶν ἐς ἕω Καίσαρα ἐπελθεῖν. οὐ μὴν οὐδ᾽ ἐς ὕπνον ἀπιὼν, ἐνήλλαξέ τι τῶν συνήθων, πλὴν ὅτι τὸν υἱὸν ἠσπάσατο φιλοφρονέστερον. Τὸ δὲ ξιφίδιον τῇ κλίνῃ τὸ σύνηθες οὐχ εὑρὼν παρακείμενον, ἐξεβόησεν, ὅτι προδιδοῖτο ὑπὸ τῶν οἰκείων τοῖς πολεμίοις· Τῶν δὲ αὐτὸν παρακαλούντων, μηδὲν ἐφ ἑαυτὸν βουλεύειν, ἀλλ᾽ ἀναπαύεσθαι χωρὶς ξιφιδίου, ἀξιοπιστότερον ἔτι εἶπεν· Οὐ γάρ ἐστί μοι, θέλοντι, καὶ δι᾽ ἐσθῆτος ἐμαυτὸν ἀποπνίξαι; καὶ ἐς τὰ τείχη τὴν κεφαλὴν ἀπαῤῥάξαι; καὶ ἐς τράχηλον κυβιστῆσαι; καὶ τὸ πνεῦμα κατασχόντα ἐκτρίψαι; Πολλά τε ὅμοια εἰπὼν, παρήγαγεν αὐτοὺς παραθεῖναι τὸ ξιφίδιον. ὡς δὲ ἐτέθη, Πλάτωνος αἰτήσας τὴν περὶ ψυχῆς συγγραφὴν, ἀνεγίγνωσκε.

Cap. LXIII. Καὶ ἐπεὶ τέλος εἶχε τῷ Πλάτωνι ὁ λόγος, ἀναπαύεσθαι τοὺς περὶ θύρας ὑπολαβὼν, ἔτρωσεν αὐτὸν ὑπὸ τὰ στέρνα. Προπεσόντων δ᾽ αὐτῷ τῶν σπλάγχνων, καὶ στόνου τινὸς ἐξακουσθέντος, ἐσέδραμον οἱ περὶ θύρας· καὶ οἱ ἰατροὶ τὰ σπλάγχνα ἔτι σῶα ὄντα ἐνέθηκαν ἔνδον, καὶ τὰς πληγὰς ἐπιῤῥάψαντες ἐπέδησαν. Ὁ δὲ ἀνενεγκὼν, αὖθις ὑπεκρίνετο· καὶ κατεμέμφετο μὲν ἑαυτῷ πληγῆς ἀσθενοῦς, χάριν δ᾽ ὡμολόγει τοῖς περισώσασι, καὶ καταδαρθεῖν ἔφη δεῖσθαι. οἱ μὲν δὴ, τὸ ξίφος ἔχοντες, ᾤχοντο, καὶ τὰς θύρας ὡς ἠρεμοῦντι ἐπέκλεισαν. Ὁ δ᾽ ὕπνου δόξαν αὐτοῖς παρασχὼν, τὰ δεσμὰ ταῖς χερσὶ μετὰ σιγῆς ἀπεῤῥήγνυ, καὶ τὰς ῥαφὰς τοῦ τραύματος ἀνέπτυσσεν· οἷα θηρίον τό τε τραῦμα καὶ τὴν γαστέρα εὐρύνων ὄνυξι, καὶ δακτύλοις ἐρευνῶν, καὶ τὰ σπλάγχνα διαῤῥίπτων· μέχρι ἐτελεύτησεν, ἔτη μὲν ἀμφὶ πεντήκοντα γεγονώς· καὶ αὐτὸν οἱ Ἰτυκαῖοι λαμπρῶς ἔθαπτον.

Cap. LXIV. Ἰόβας δὲ καὶ Πετρήϊος τῶν γιγνομένων πυνθανόμενοι, καὶ οὐδεμίαν σφίσιν οὔτε φυγὴν οὔτε σωτηρίαν ἐπινοοῦντες, ἐπὶ διαίτῃ ξίφεσι διεχρήσαντο ἀλλήλους· καὶ τὴν ἀρχὴν

---

83) sie würden, anstatt für sich, für ihn bitten. —

την Ἰόβα Καῖσαρ ὑποτελῆ Ῥωμαίοις ἐποίησεν, αὐτῇ Σαλούστιον Κρίσπον ἐγκαταστήσας. Ἰτυκαίοις δὲ καὶ τῷ Κάτωνος υἱῷ συνεγίγνωσκε· καὶ τὴν θυγατέρα τοῦ Πομπηΐου, μετὰ δύο παίδων αὐτῆς, ἐν Ἰτύκῃ καταλαβὼν, ἐξέπεμπε σώους τῷ Πομπηΐῳ. τῶν δὲ τριακοσίων ὅσους εὗρε, διέφθειρε. Λεύκιος δὲ Σκιπίων ὁ αὐτοκράτωρ, χειμαζόμενος ἐν τῇ θαλάσσῃ, καὶ πολεμίαις ναυσὶν ἐντυχὼν, ἐφέρετο γενναίως· μέχρι καταλαμβανόμενος αὐτόν τε διεχρήσατο, καὶ τὸ σῶμα μεθῆκεν ἐς τὸ πέλαγος. Τοῦτο μὲν δὴ καὶ τῷ περὶ Λιβύην Καίσαρος πολέμῳ τέλος ἐγίγνετο.

Cap. LXV. Αὐτὸς δ' ἐπανελθὼν ἐς Ῥώμην ἐθριάμβευε τέσσαρας ὁμοῦ θριάμβους· ἐπί τε Γαλάταις, ὧν δὴ πολλὰ καὶ μέγιστα ἔθνη προσέλαβε. καὶ ἀφιστάμενα ἄλλα ἐκρατύνατο· καὶ Ποντικὸν ἐπὶ Φαρνάκει· καὶ Λιβυκὸν, ἐπὶ Λιβύων τοῖς συμμαχήσασι τῷ Σκιπίωνι· ἔνθα καὶ Ἰόβα παῖς, Ἰόβας, ὁ συγγραφεὺς, βρέφος ὢν ἔτι, παρήγετο. παρήγαγε δέ τινα καὶ τῆς ἀνὰ τὸν Νεῖλον ναυμαχίας θρίαμβον Αἰγύπτιον, μεταξὺ τοῦ Γαλατῶν καὶ Φαρνάκους. Τὰ δὲ Ῥωμαίων φυλαξάμενος ἄρα, ὡς ἐμφύλια, οὐκ ἐοικότα τε αὐτῷ, καὶ Ῥωμαίοις αἰσχρὰ καὶ ἀπαίσια, ἐπιγράψαι [84]) θριάμβῳ· παρήνεγκεν ὅμως αὐτῶν ἐν τοῖσδε τὰ παθήματα ἅπαντα, καὶ τοὺς ἄνδρας ἐν εἰκόσι καὶ ποικίλαις γραφαῖς, χωρίς γε Πομπηΐου. τοῦτον γὰρ δὴ μόνον ἐφυλάξατο δεῖξαι, σφόδρα ἔτι πρὸς πάντων ἐπιποθούμενον. Ὁ δὲ δῆμος ἐπὶ μὲν τοῖς οἰκείοις κακοῖς, καίπερ δεδιὼς, ἔστενε· καὶ μάλιστα, ὅτε ἴδοι Λεύκιόν τε Σκιπίωνα τὸν αὐτοκράτορα πλησσόμενον ἐς τὰ στέρνα ὑφ' ἑαυτοῦ, καὶ μεθιέμενον ἐς τὸ πέλαγος· ἢ Πετρήϊον ἐπὶ διαίτῃ διαχρώμενον ἑαυτὸν, ἢ Κάτωνα ὑφ' ἑαυτοῦ διασπώμενον, ὡς θηρίον. Ἀχιλλᾷ δ' ἐφήσθησαν καὶ Ποθεινῷ, καὶ τὴν Φαρνάκους φυγὴν ἐγέλασαν.

Cap. LXVI. Χρήματα δ' ἐν τοῖς θριάμβοις φασὶ παρενεχθῆναι μυριάδας ἓξ καὶ ἥμισυ ταλάντων, καὶ στεφάνους δύο καὶ εἴκοσι καὶ δισχιλίους ἐπὶ τοῖς ὀκτακοσίοις, ἀπὸ χρυσοῦ, ἕλκοντας ἐς δισμυρίας καὶ δέκα καὶ τέσσαρας καὶ τετρακοσίας λίτρας. ἀφ' ὧν εὐθὺς ἐπὶ τῷ θριάμβῳ διένειμε, τὰ ὑπεσχημένα πάνθ' ὑπερβάλλων, στρατιώτῃ μὲν ἀνὰ πεντακισχιλίας δραχμὰς Ἀττικὰς, λοχαγῷ δ' αὐτοῦ τὸ διπλάσιον, καὶ χιλιάρχῃ καὶ ἐπάρχῃ τὸ ἔτι διπλάσιον, καὶ τοῖς δημόταις, ἑκάστῳ μνᾶν Ἀττικήν. Ἐπέδωκε δὲ καὶ θέας ποικίλας, ἵππων τε, καὶ μουσικῆς, καὶ πεζομαχίας, ἀνδρῶν χιλίων πρὸς ἑτέρους χιλίους, καὶ ἱππομαχίαν διακοσίων πρὸς ἴσους· καὶ ἀναμὶξ ἄλλων πεζῶν τε καὶ ἱππέων ἀγῶνα· ἐλεφάντων τε μάχην εἴκοσι πρὸς εἴκοσι· καὶ

---

84) d. i. er hielt keinen Triumph darüber. —

ναυμαχίαν ἐρετῶν τετρακισχιλίων, ἐπιβεβηκότων ἐς μάχην χιλίων ἑκατέρωθεν. Ἀνέστησε καὶ τῇ γενετείρᾳ [85]) τὸν νεὼν, ὥσπερ εὔξατο μέλλων ἐν Φαρσάλῳ μαχεῖσθαι· καὶ τέμενος τῷ νεῷ περιέθηκεν, ὃ Ῥωμαίοις ἔταξεν ἀγορὰν εἶναι, οὐ τῶν ὠνίων, ἀλλ' ἐπὶ πράξεσι συνιόντων ἐς ἀλλήλους· καθὰ καὶ Πέρσαις ἦν τις ἀγορὰ, ζητοῦσιν ἢ μανθάνουσι τὰ δίκαια. Κλεοπάτρας τε εἰκόνα καλὴν τῇ θεῷ παρεστήσατο, ἣ καὶ νῦν συνέστηκεν αὐτῇ. Τὸ δὲ τοῦ δήμου πλῆθος ἀναγραψάμενος, ἐς ἥμισυ λέγεται τῶν πρὸ τοῦδε τοῦ πολέμου γενομένων εὑρεῖν. ἐς τοσοῦτον καθεῖλεν ἡ τῶνδε φιλονεικία τὴν πόλιν.

Αὐτὸς δὲ, ἤδη τέταρτον ὑπατεύων, ἐπὶ τὸν νέον Πομπήϊον ἐστράτευεν ἐς Ἰβηρίαν· ὅσπερ αὐτῷ λοιπὸς ἦν ἔτι πόλεμος ἐμφύλιος, οὐκ εὐκαταφρόνητος. τῶν τε γὰρ ἀρίστων ὅσοι διεπεφεύγεσαν ἐκ Λιβύης, ἐκεῖ συνέδραμον. καὶ στρατὸς, ὁ μὲν, ἐξ αὐτῆς Λιβύης τε καὶ φαρσάλου τοῖς ἡγεμόσι συνῆλθεν, ὁ δὲ, ἐξ Ἰβήρων τε καὶ Κελτιβήρων, ἔθνους ἀλκίμου καὶ χαίροντος αἰεὶ μάχαις· πολὺς δὲ καὶ δούλων ὅμιλος ἐστρατεύετο τῷ Πομπηΐῳ· καὶ τέταρτον ἔτος εἶχον ἐν τοῖς γυμνασίοις, καὶ γνώμην ἕτοιμον ἀγωνίσασθαι μετὰ ἀπογνώσεως. ᾧ δὴ καὶ μάλιστα σφαλεὶς ὁ Πομπήϊος, οὐκ ἀνεβάλλετο τὴν μάχην, ἀλλ' εὐθὺς ἐλθόντι τῷ Καίσαρι συνεμάχετο· καί τοι τῶν πρεσβυτέρων αὐτῷ παραινούντων, ἐκ πείρας ὧν ἀμφί τε Φάρσαλον καὶ Λιβύην ἐπεπόνθεσαν, ἐκτρίβειν τῷ χρόνῳ τὸν Καίσαρα, καὶ ἐς ἀπορίαν, ὡς ἐν ἀλλοτρίᾳ γῇ, περιφέρειν. Ὁ δὲ Καῖσαρ ἧκε μὲν ἀπὸ Ῥώμης ἑπτὰ καὶ εἴκοσιν ἡμέραις, βαρυτάτῳ [86]) στρατῷ μακροτάτην ὁδὸν ἐπελθών. Δέος δ', οἷον οὐ πρότερον, ἐνέπιπτεν αὐτοῦ τῷ στρατῷ, κατὰ δόξαν τῶν πολεμίων τοῦ τε πλήθους καὶ ἀσκήσεως καὶ ἀπογνώσεως.

Δι' ἃ καὶ ὁ Καῖσαρ αὐτὸς ἐβράδυνεν· ἔστε πού τι αὐτῷ κατασκεπτομένῳ προσπελάσας ὁ Πομπήϊος, ὠνείδισεν ἐς δειλίαν. καὶ τὸ ὄνειδος οὐκ ἐνεγκὼν ὁ Καῖσαρ, ἐξέτασσε παρὰ πόλιν Κορδύβην, σύνθημα καὶ τότε δοὺς Ἀφροδίτην· ἔδωκε δὲ καὶ ὁ Πομπήϊος Εὐσέβειαν. Ὡς δὲ, καὶ συνιόντων ἤδη, τοῦ Καίσαρος στρατοῦ τὸ δέος ἥπτετο, καὶ ὄκνος ἐπεγίγνετο τῷ φόβῳ, θεοὺς πάντας ὁ Καῖσαρ ἱκέτευε, τὰς χεῖρας ἐς τὸν οὐρανὸν ἀνίσχων, μὴ ἑνὶ πόνῳ τῷδε πολλὰ καὶ λαμπρὰ ἔργα μιῆναι, καὶ τοὺς στρατιώτας ἐπιθέων παρεκάλει· τό τε κράνος τῆς κεφαλῆς ἀφαιρῶν, ἐς πρόσωπον ἐδυσώπει καὶ προὔτρεπεν. Οἱ δὲ οὐδ' ὡς τι μετέβαλλον ἀπὸ τοῦ δέους· ἕως ὁ Καῖσαρ αὐτὸς, ἁρπάσας

---

85) i. e. Veneri. — 86) sogar mit dem Gepäcke und der Munition. —

τινὸς ἀσπίδα, καὶ τοῖς ἀμφ' αὐτὸν ἡγεμόσιν εἰπών, Ἔσται τοῦτο τέλος ἐμοί τε τοῦ βίου καὶ ὑμῖν τῶν στρατειῶν· προὔδραμε τῆς τάξεως ἐς τοὺς πολεμίους ἐπὶ τοσοῦτον, ὡς μόνους αὐτῶν ἀποσχεῖν δέκα πόδας, καὶ διακόσια αὐτῷ δόρατα ἐπιβληθῆναι, καὶ τούτων τὰ μὲν αὐτὸν ἐκκλίναι, τὰ δὲ ἐς τὴν ἀσπίδα ἀναδέξασθαι. τότε γὰρ δὴ τῶν τε ἡγεμόνων προθέων ἕκαστος ἵστατο παρ' αὐτόν, καὶ ὁ στρατὸς ἅπας ἐμπεσὼν μετὰ ὁρμῆς ὅλην ἠγωνίζετο τὴν ἡμέραν, προὔχων τε καὶ ἡττώμενος αἰεὶ παρὰ μέρος· μέχρις ἐς ἑσπέραν μόλις ἐνίκησεν. ὅτε καὶ φασὶν αὐτὸν εἰπεῖν, ὅτι πολλάκις μὲν ἀγωνίσαιτο περὶ νίκης, νῦν δὲ καὶ περὶ ψυχῆς.

Φόνου δὲ πολλοῦ γενομένου, καὶ φυγῆς τῶν Πομπηΐου στρατιωτῶν ἐς τὴν Κορδύβην, ὁ μὲν Καῖσαρ, ἵνα μὴ διαφυγόντες οἱ πολέμιοι, πάλιν ἐς μάχην παρασκευάσαιντο, ἐκέλευε τὸν στρατὸν ἐκτειχίσαι τὴν Κορδύβην. οἱ δὲ κάμνοντες τοῖς γεγονόσι, τά τε σώματα καὶ τὰ ὅπλα τῶν ἀνῃρημένων ἐπεφόρουν ἀλλήλοις, καὶ δόρασιν αὐτὰ διαπηγνύντες ἐς τὴν γῆν, ἐπὶ τοιοῦδε τείχους ηὐλίσαντο. Τῆς δ' ἐπιούσης ἑάλω μὲν ἡ πόλις, τῶν δὲ ἡγεμόνων τοῦ Πομπηΐου, Σκάπλας μὲν, νήσας πυρὰν, ἑαυτὸν ἐνέπρησεν· Οὐάρου δὲ καὶ Λαβιηνοῦ καὶ ἑτέρων ἀνδρῶν ἐπιφανῶν ἐκομίσθησαν αἱ κεφαλαὶ Καίσαρι. Πομπήϊος δ' αὐτὸς διέφυγε μὲν ἀπὸ τῆς ἥσσης σὺν ἑκατὸν καὶ πεντήκοντα ἱππεῦσιν ἐπὶ Καρθαίας, ἔνθα αὐτῷ νεῶν στόλος ἦν· καὶ παρῆλθεν ἐς τὰ νεώρια λαθὼν, ὡς τὶς ἰδιώτης, φορείῳ κομιζόμενος. ὁρῶν δὲ καὶ τούτους ἀπογιγνώσκοντας ἑαυτῶν, ἔδεισε περὶ ἐκδόσεως· καὶ ἔφευγεν αὖθις, ἐπιβαίνων σκάφους. Ἐμπλακέντα δ' αὐτοῦ τὸν πόδα καλωδίῳ, κόπτων τις τὸ καλώδιον ξιφιδίῳ, τὸν ταρσὸν ἔτεμεν, ἀντὶ τοῦ καλωδίου, τοῦ ποδός· καὶ διαπλεύσας ἔς τι χωρίον ἐθεραπεύετο. ζητούμενος δὲ κἀνταῦθα, ἔφευγε διὰ δυσβάτου καὶ ἀκανθώδους ὁδοῦ, τὸ τραῦμα περικεντούμενος, μέχρι κάμνων ὑπό τι δένδρον ἐκαθέζετο. καὶ τῶν ζητητῶν ἐπιπεσόντων, οὐκ ἀγεννῶς αὐτοὺς ἀμυνόμενος, κατεκόπη. Τοῦδε μὲν δὴ τὴν κεφαλὴν ὁ Καῖσαρ ἐνεχθεῖσάν οἱ προσέταξέ τινι θάψαι. Καὶ ὁ πόλεμος ἐνὶ ἔργῳ καὶ ὅδε παρὰ δόξαν ἐλέλυτο. Τοὺς δ' ἐξ αὐτοῦ διαφυγόντας ἤθροιζεν ὁ τοῦδε τοῦ Πομπηΐου νεώτερος ἀδελφὸς, Πομπήϊος μὲν καὶ ὅδε ὢν, Σέξστος δὲ καλούμενος τῷ προτέρῳ τῶν ὀνομάτων [87], ἀλλ' ὅδε μὲν ἔτι λανθάνων καὶ διαδιδράσκων ἐλῄστευεν.

Ὁ δὲ Καῖσαρ ἐς Ῥώμην ἠπείγετο, καὶ ἐμφύλια πάντα καθελὼν, ἐπὶ φόβου καὶ δόξης [88] οἵας οὔτις πρὸ τοῦ. ὅθεν αὐτῷ τιμαὶ πᾶσαι, ὅσαι ὑπὲρ ἄνθρωπον, ἀμέτρως ἐς χάριν ἐπενοοῦντο,

---

87) i. e. praenomine. — 88) gefürchtet und berühmt. —

θυσιῶν τε πέρι, καὶ ἀγώνων, καὶ ἀναθημάτων ἐν πᾶσιν ἱεροῖς καὶ δημοσίοις χωρίοις, ἀνὰ φυλὴν ἑκάστην· καὶ ἐν ἔθνεσιν ἅπασι, καὶ ἐν βασιλεῦσιν ὅσοι Ῥωμαίοις φίλοι. σχήματά τε ἐπεγράφετο ταῖς εἰκόσι 89) *ποικίλα· καὶ στέφανος ἐκ δρυὸς ἦν ἐπ ἐνίαις, ὡς σωτῆρι τῆς πατρίδος· ᾧ πάλαι τοὺς ὑπερασπίσαντας ἐγέραιρον οἱ περισωθέντες. Ἀνεῤῥήθη δὲ καὶ Πατὴρ πατρίδος, καὶ δικτάτωρ ἐς τὸν ἑαυτοῦ βίον ᾑρέθη, καὶ ὕπατος ἐς δέκα ἔτη· καὶ τὸ σῶμα ἱερὸς καὶ ἄσυλος εἶναι· καὶ χρηματίζειν ἐπὶ θρόνων ἐλεφαντίνων τε καὶ χρυσέων· καὶ θύειν μὲν αὐτὸν αἰεὶ θριαμβικῶς ἠμφιεσμένον, τὴν δὲ πόλιν* 90) *ἀνὰ ἔτος ἕκαστον, αἷς αὐτὸς ἡμέραις ἐν παρατάξεσιν ἐνίκα· ἱερέας δὲ καὶ ἱερείας ἀνὰ πενταετὲς* 91) *εὐχὰς δημοσίας ὑπὲρ αὐτοῦ τίθεσθαι· καὶ τὰς ἀρχὰς εὐθὺς καθισταμένας* 92) *ὀμνύναι, μηδενὶ τῶν ὑπὸ Καίσαρος ὁριζομένων ἀντιπράξειν. ἔς τε τιμὴν τῆς γενέσεως αὐτοῦ τὸν Κυϊντίλιον μῆνα, Ἰούλιον ἀντὶ Κυϊντιλίου μετωνόμασαν εἶναι· καὶ νεὼς ἐψηφίσαντο πολλοὺς αὐτῷ γενέσθαι καθάπερ θεῷ, καὶ κοινὸν αὐτοῦ καὶ Ἐπιεικείας, ἀλλήλους δεξιουμένων* 93.

---

89) sc. Caesaris. — 90) sc. *θύειν.* — 91) alle fünf Jahre. — 92) qui magistratus inirent. — 93) simulacra jungebant dextras. —

II.

Schlacht am Granikus.

Cap. I. *Ἀλέξανδρος προὐχώρει ἐπὶ τὸν Γρανικὸν ποταμὸν συντεταγμένῳ τῷ στρατῷ, διπλῆν*[1] *μὲν τὴν φάλαγγα τῶν ὁπλιτῶν τάξας· τοὺς δὲ ἱππέας κατὰ τὰ κέρατα*[2] *ἄγων, τὰ σκευοφόρα δὲ κατόπιν ἐπιτάξας ἕπεσθαι, τοὺς δὲ προκατασκειψομένους τὰ τῶν πολεμίων ἦγεν αὐτῷ Ἡγέλοχος, ἱππέας μὲν ἔχων τοὺς σαρισσοφόρους, τῶν δὲ ψιλῶν ἐς πεντακοσίους. Καὶ Ἀλέξανδρός τε οὐ πολὺ ἀπεῖχε ἀπὸ τοῦ ποταμοῦ τοῦ Γρανικοῦ, καὶ οἱ ἀπὸ τῶν*[3] *σκοπῶν σπουδῇ*[4] *ἐλαύνοντες, ἀπήγγελλον ἐπὶ τῷ Γρανικῷ πέραν τοὺς Πέρσας ἐφεστάναι τεταγμένους ὡς ἐς μάχην. Ἔνθα δὴ Ἀλέξανδρος μὲν τὴν στρατιὰν πᾶσαν συνέταττεν ὡς*[5] *μαχουμένους. Παρμενίων δὲ προσελθὼν, λέγει Ἀλεξάνδρῳ τάδε. Ἐμοὶ δοκεῖ, βασιλεῦ, ἀγαθὸν εἶναι ἐν τῷ παρόντι*[6] *καταστρατοπεδεῦσαι ἐπὶ τοῦ ποταμοῦ τῇ ὄχθῃ, ὡς*[7] *ἔχομεν. Τοὺς γὰρ πολεμίους οὐ δοκῶ τολμήσειν, πολὺ τῶν πεζῶν λειπομένους,*

II.

Schlacht am Granikus.

1) Des doppelten Phalanx bediente sich Alexander, um nicht von den Persern überflügelt zu werden. — 2) Kolonnenweise, hingegen *ἐπὶ φάλαγγος* in langer Linie. cf. Vig. p. 613. IV. — Cyr. X. I, 6, 43, VII, 1, 26 (22). VI, 3. 34. ed. Popp. Weckerlin p. 62. — 3) speculatores. cf. Herm. ad Vig. p. 855, n. 370. u. p. 580. XIV. Es zeigt hier *ἀπὸ* ein Geschäft an. — 4) adv. schnell. — 5) der Plur. weil *στρατία* ein nomen collectivum ist. — 6) in praesentia, hoc ipso tempore. cf. X. Cyr. ed. Poppo, III, 1, 29, not. V, 4, 30. cf. Vig. p. 604. b. — 7) wie wir sind. hingegen: *ὅπως ἔχομεν*, wie wir können. cf. m. Gr. §. 337. cf. Thuc. III, 30. Vig. p. 248. IX. Matth. p.

πλησίον ἡμῶν αὐλισθῆναι, καὶ ταύτῃ παρέξειν [8]) ἕωθεν εὐπετῶς τῷ στρατῷ διαβαλεῖν τὸν πόρον. Ὑποφθάσομεν [9]) γὰρ αὐτοὶ περάσαντες πρὶν ἐκείνους ἐς τάξιν καθίστασθαι. Νῦν δὲ οὐκ ἀκινδύνως μοι δοκοῦμεν [10]) ἐπιχειρήσειν τῷ ἔργῳ, ὅτι οὐχ οἷόν τε [11]) ἐν μετώπῳ [12]) διὰ τοῦ ποταμοῦ ἄγειν τὸν στρατόν. Πολλὰ μὲν γὰρ αὐτοῦ ὁρᾶται βαθέα· αἱ δὲ ὄχθαι αὗται, ὁρᾷς ὅτι ὑπερύψηλοι καὶ κρημνώδεις εἰσὶν [13]) αἱ αὐτῶν· ἀτάκτως [14]) τὲ οὖν καὶ κατὰ κέρας, ᾗπερ [15]) ἀσθενέστατον, ἐκβαίνουσιν ἐπικείσονται, ἐς φάλαγγα συντεταγμένοι, τῶν πολεμίων οἱ ἱππεῖς· καὶ τὸ πρῶτον [16]) σφάλμα, ἔς τε τὰ παρόντα χαλεπὸν, καὶ ἐς τὴν ὑπὲρ παντὸς τοῦ πολέμου κρίσιν σφαλερόν. Ἀλέξανδρος δὲ, Ταῦτα μὲν (ἔφη) ὦ Παρμενίων, γιγνώσκω, αἰσχύνομαι δὲ, εἰ τὸν μὲν Ἑλλήσποντον διέβην εὐπετῶς, τοῦτο δὲ σμικρὸν ῥεῦμα (οὕτω τῷ ὀνόματι τὸν Γρανικὸν ἐκφαυλίσας) εἴρξει ἡμᾶς τοῦ μὴ οὐ [17]) διαβῆναι ὡς ἔχομεν. Καὶ τοῦτο οὔτε πρὸς Μακεδόνων [18]) τῆς δόξης, οὔτε πρὸς τῆς ἐμῆς ἐς τοὺς κινδύνους ὀξύτητος ποιοῦμαι· ἀναθαῤῥήσειν τε δοκῶ τοὺς Πέρσας ἀξιομάχους [19](Μακεδόσιν ὄντας, ὅτι οὐδὲν ἄξιον τοῦ σφῶν δέους [20]) ἐν τῷ παραυτίκα ἔπαθον.

Cap. II. Ταῦτα εἰπὼν, Παρμενίωνα μὲν ἐπὶ τὸ εὐώνυμον κέρας πέμπει ἡγησόμενον, αὐτὸς δὲ ἐπὶ τὸ δεξιὸν παρῆγεν.

---

432. m. Gr. §. 222, 2. — 8) sc. δοκῶ. τῷ στρατῷ, d. h. das Heer des Alexanders. Die Feinde werden sich ferne vom Ufer halten, und dann wird uns der Uebergang leicht. — 9) cf. Vig. p. 319, 66 in not. — 10) cf. Vig. p. 312. a. p. 330, a. — 11) sc. ἐστί. — 22) in gerader und wohlgeordneter Fronte; hingegen λοξὴ τάξις, in schiefer Schlachtlinie. — 13) d. h. einige von diesen. — 14) unordentlich, weil der Fluß nicht überall gleich seicht war. — 15) wie. — 16) das Mißlingen im Anfange des Krieges. Der Sinn dieser Constr. ist: die erste Niederlage würde an einer so gefährlichen Stelle für uns nicht nur sehr empfindlich, sondern auch den Ausgang des Krieges sehr zweifelhaft machen. — 17) §. 332, IV. — Vig. p. 796. — 18) wenn ich deinem Rathe folgte, so würde ich weder dem Ruhme der Macedonier gemäß handeln, noch meiner gewöhnlichen Kühnheit in Bestehung der Gefahren folgen. — 19) ὄντας, st. εἶναι mit verst. ὡς. ἀξ. aber bezieht sich nicht auf die Zahl der Soldaten, sondern auf ihre kriegerische Tapferkeit, an welcher die Perser den Macedoniern weit nachstanden. — 20) d. h. wenn man keinen unge=

Προετάχθησαν[21]) *δὲ αὐτῷ τοῦ μὲν δεξιοῦ, Φιλώτας ὁ Παρμενίωνος, ἔχων τοὺς ἑταίρους*[22]) *τοὺς ἱππέας, καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριᾶνας, τοὺς ἀκοντιστάς· Ἀμύντας δὲ ὁ Ἀῤῥαβαίου τούς τε σαρισσοφόρους ἱππέας ἔχων, Φιλώτᾳ ἐπετάχθη, καὶ τοὺς Παίονας καὶ τὴν ἴλην τὴν Σωκράτους. Ἐχόμενοι δὲ τούτων ἐτάχθησαν οἱ ὑπασπισταὶ τῶν ἑταίρων, ὧν ἡγεῖτο Νικάνωρ ὁ Παρμενίωνος· ἐπὶ δὲ τούτοις, ἡ Περδίκκου τοῦ Ὀρόντου φάλαγξ· ἐπὶ δὲ, ἡ Κοίνου τοῦ Πολεμοκράτους· ἐπὶ δὲ. ἡ Κρατεροῦ τοῦ*

---

wöhnlichen Eindruck auf sie macht. — 21) sie nahmen die erste Stelle ein, wenn man von der Rechten aus zählte. *ἐπετάχθη*, er nahm die folgende Stelle ein. Die ganze Stellung der macedonischen Schlachtordnung war, wenn man vom rechten zum linken Flügel zählt, folgende: Die auserlesene Reiterei (*ἑταῖροι*), Bogenschützen und Agrianer unter Philotas, die berittenen Sarissenträger, Päonier, und die Schwadron des Sokrates unter Amintas, den Sohn des Arabeus, das Korps der Fußgänger und die übrigen Hypaspisten unter Nikanor, die Pezetären, deren Abtheilungen (*τάξεις*) von Perdikkas, Cönus, Craterus, Amyntas, den Sohn des Andromenes, Philipp, den Sohn des Amyntas, und Meleager geführt wurden. Alle kommandirte wieder Kraterus. Nun folgen die Reiter, d. h. die Thracier unter Agathon, die Hilfstruppen unter Philipp, des Menelaus Sohn, und die Thessaler unter Calas. — Man findet aber, daß die Schlachtreihe der Fußgänger des Philippus zweimal vorkomme, erstens, wenn man die Schaaren vom rechten Flügel bis zu ihr, und vom Linken wieder bis zu derselben zählt. *τὸ μέσον τῆς ξυμπάσης τάξεως* aber bezeichnet nur den Ort, wo der rechte Flügel den linken berührt. — 22) Diese bestanden aus acht Schwadronen; zwei davon machten eine Hipparchie aus. Die erste Schwadron hieß die königliche, und bestand etwa aus 300 Reitern, die übrigen einzelnen Schwadronen aus 200. Alle diese kommandirte Philotas, nach dessen Tode Klitus über vier, Hephästion über die übrigen Schwadronen gesetzt wurde. Ihnen an Würde zunächst kamen die thessalischen Reiter, beiläufig 1500. Dann folgten die berittenen Hilfstruppen, 600, und verschiedene Schaaren von Söldnern, deren Anzahl jedoch unbestimmt ist. Diese waren alle schwer bewaffnet. Leicht bewaffnet sind die Thracer, Päonier und die Vorläufer. Alle Reiter zusammen

Ἀλεξάνδρου· ἐπὶ δὲ, ἡ Ἀμύντου τοῦ Ἀνδρομένους· ἐπὶ δὲ, ὧν Φίλιππος ὁ Ἀμύντου ἦρχε. Τοῦ δὲ εὐωνύμου πρῶτοι μὲν οἱ Θετταλοὶ ἱππεῖς ἐτάχθησαν, ὧν ἡγεῖτο Κάλας ὁ Ἁρπάλου· ἐπὶ δὲ τούτοις, οἱ ξύμμαχοι ἱππεῖς, ὧν ἦρχε Φίλιππος ὁ Μενελάου· ἐπὶ δὲ τούτοις, οἱ Θρᾷκες, ὧν ἦρχεν Ἀγάθων· Ἐχόμενοι δὲ τούτων πεζοὶ, ἥ τε Κρατεροῦ φάλαγξ καὶ ἡ Μελεάγρου καὶ ἡ Φιλίππου, ἔς τε ἐπὶ τὸ μέσον τῆς ξυμπάσης τάξεως. Περσῶν δὲ ἱππεῖς μὲν ἦσαν ἐς δισμυρίους, ξένοι [23]) δὲ πεζοὶ μισθοφόροι ὀλίγον ἀποδέοντες [24]) δισμυρίων· ἐτάχθησαν δὲ τὴν μὲν ἵππον παρατείναντες τῷ ποταμῷ κατὰ τὴν ὄχθην ἐπὶ φάλαγγα μακρὰν, τοὺς δὲ πεζοὺς κατόπιν τῶν ἱππέων. Καὶ γὰρ ὑπερδέξια ἦν τὰ ὑπὲρ τὴν ὄχθην χωρία. Ἧι δὲ Ἀλέξανδρον αὐτὸν καθεώρων (δῆλος γὰρ ἦν τῶν τε ὅπλων τῇ λαμπρότητι καὶ τῶν ἀμφ' αὐτὸν τῇ σὺν ἐκπλήξει [25]) θεραπείᾳ) κατὰ τὸ εὐώνυμον μὲν σφῶν ἐπέχοντα, ταύτῃ πυκνὰς ἐπέταξαν τῇ ὄχθῃ τὰς ἴλας τῶν ἵππων [26]). Χρόνον [27]) μὲν δὴ ἀμφότερα τὰ στρατεύματα ἐπ' ἄκρου τοῦ ποταμοῦ ἐφεστῶτες, ὑπὸ τοῦ τὸ μέλλον ὀκνεῖν [28]) ἡσυχίαν ἦγον· καὶ σιγὴ ἦν πολλὴ ἀφ' ἑκατέρων. Οἱ γὰρ Πέρσαι προσέμενον τοὺς Μακεδόνας, ὁπότε ἐσβήσονται ἐς τὸν πόρον, ὡς ἐπικεισόμενοι ἐκβαίνουσιν· Ἀλέξανδρος [29]) δὲ ἀναπηδήσας ἐπὶ τὸν ἵππον, καὶ τοῖς ἀμφ' αὐτὸν ἐγκελευσάμενος ἕπεσθαί τε καὶ ἄνδρας ἀγαθοὺς γίνεσθαι, τοὺς μὲν προδρόμους ἱππέας καὶ μὴν καὶ [30]) τοὺς Παίονας προεμβαλεῖν εἰς τὸν ποταμὸν ἔχοντα Ἀμύνταν τὸν Ἀῤῥαβαίου καὶ τῶν πεζῶν μίαν τάξιν, καὶ πρὸ τούτων τὴν Σωκράτους ἴλην Πτολεμαῖον τὸν Φιλίππου ἄγοντα, ᾗ δὴ καὶ ἐτύγχανε τὴν ἡγεμονίαν [31]) τοῦ ἱππικοῦ παντὸς ἔχουσα ἐν

---

betrugen über fünf Tausend. — 23) Die Griechen sc. — 24) Beinahe an die. cf. Vig. p. 70. — 25) cf. Vig. p. 640, not. 15 sq. Xen. Cyr. ed. Popp. III, 7, 5. IV, 6, 1. V, 5, 6. — 26) st. ἱππέων. — 27) eine Zeit lang. cf. Vig. p. 59. — zu μὲν das entsprechende Ἀλέξανδρος δὲ. vergl. jedoch Hoogev. p. 353. VIII. und Vig. 538. Math. p. 403. A. 3. Xen. Cyr. I, 2, 1. 6. 8. 15. Anab. III, 3, 1, 10. — 28) vor banger Erwartung der Dinge. — 29) Die Constr. im Zusammenhange lautet: Ἀλέξανδρος δὲ ἀναπηδήσας — καὶ — ἐγκελευσάμενος (ἕπεσθαι — γίγνεσθαι — προεμβαλεῖν) αὐτὸς δὲ ἄγων — ἐμβαίνει ἐς τὸν πόρον. — Ferner: Ἀμύνταν τὸν Ἀ. ἔχοντα τοὺς προδρόμους ἱππέας καὶ μὴν καὶ τοὺς Παίονας καὶ τῶν πεζῶν μίαν τάξιν προεμβαλεῖν εἰς τὸν ποταμὸν καὶ Πτολεμαῖον τὸν Φ. ἄγοντα πρὸ τούτων τὴν Σ. ἴλην, ᾗ δὴ etc. — 30) quin etiam. cf. Vig. 529. — 31) Es

ἐκείνῃ τῇ ἡμέρᾳ· αὐτὸς δὲ ἄγων τὸ δεξιὸν κέρας ὑπὸ σαλπίγγων τε καὶ τῷ Ἐνυαλίῳ ἀλαλάζοντας [32]), ἐμβαίνει ἐς τὸν πόρον, λοξὴν [33]) ἀεὶ παρατείνων τὴν τάξιν, ᾗ παρεῖλκε τὸ ῥεῦμα, ἵνα δὴ μὴ ἐκβαίνοντι αὐτῷ οἱ Πέρσαι κατὰ κέρας προσπίπτοιεν, ἀλλὰ καὶ αὐτὸς, ὡς ἀνυστὸν, τῇ φάλαγγι προσμίξῃ αὐτοῖς.

Cap. III. Οἱ δὲ Πέρσαι, ᾗ πρῶτοι οἱ ἀμφὶ Ἀμύνταν καὶ Σωκράτην προσέσχον τῇ ὄχθῃ, ταύτῃ καὶ αὐτοὶ ἄνωθεν ἔβαλλον· οἱ μὲν αὐτῶν, ἀπὸ τῆς ὄχθης ἐξ ὑπερδεξίου ἐς τὸν ποταμὸν ἐσακοντίζοντες· οἱ δὲ, κατὰ τὰ χθαμαλώτερα αὐτῆς ἔς τε ἐπὶ τὸ ὕδωρ καταβαίνοντες. Καὶ ἦν τῶν τε ἱππέων ὠθισμὸς, τῶν μὲν ἐκβαίνειν ἐκ τοῦ ποταμοῦ, τῶν δ᾽ εἴργειν τὴν ἔκβασιν· καὶ παλτῶν ἀπὸ μὲν τῶν Περσῶν πολλὴ ἄφεσις, οἱ Μακεδόνες δὲ ξὺν τοῖς δόρασιν ἐμάχοντο, ἀλλὰ τῷ τε πλήθει πολὺ ἐλαττούμενοι Μακεδόνες ἐκακοπάθουν ἐν τῇ πρώτῃ προσβολῇ, καὶ αὐτοὶ ἐξ ἀβεβαίου τε καὶ ἅμα κάτωθεν ἐκ τοῦ ποταμοῦ ἀμυνόμενοι· οἱ δὲ Πέρσαι, ἐξ ὑπερδεξίου τῆς ὄχθης· ἄλλως τε καὶ τὸ κράτιστον τῆς Περσικῆς ἵππου ταύτῃ ἐπετέτακτο, οἵ τε Μέμνονος παῖδες, καὶ αὐτὸς ὁ Μέμνων μετὰ τούτων ἐκινδύνευσε. Καὶ οἱ μὲν πρῶτοι τῶν Μακεδόνων ξυμμίξαντες τοῖς Πέρσαις κατεκόπησαν πρὸς αὐτῶν, ἄνδρες ἀγαθοὶ γενόμενοι, ὅσοι γε μὴ πρὸς Ἀλέξανδρον πελάζοντα ἀπέκλιναν αὐτῶν. Ἀλέξανδρος γὰρ ἤδη πλησίον ἦν, ἅμα οἷ ἄγων τὸ κέρας τὸ δεξιόν. Καὶ ἐμβάλλει ἐς τοὺς Πέρσας πρῶτος, ἵνα [34]) τὸ πᾶν στῖφος τῆς ἵππου καὶ αὐτοὶ οἱ ἡγεμόνες τῶν Περσῶν τεταγμένοι ἦσαν, καὶ περὶ αὐτὸν ξυνειστήκει μάχη καρτερὰ, καὶ ἐν τούτῳ ἄλλαι ἐπ᾽ ἄλλαις τῶν τάξεων τοῖς Μακεδόσι διέβαινον οὐ χαλεπῶς ἤδη. Καὶ ἦν μὲν ἀπὸ τῶν ἵππων ἡ μάχη, πεζομαχίᾳ δὲ μᾶλλόν τι ἐῴκει. Ξυνεχόμενοι γὰρ ἵπποι τε ἵπποις, καὶ ἄνδρες ἀνδράσιν, ἠγωνίζοντο, οἱ μὲν [35]) ἐξῶσαι εἰσάπαν ἀπὸ τῆς ὄχθης, καὶ ἐς τὸ πεδίον βιάσασθαι τοὺς Πέρσας, οἱ Μακεδόνες· οἱ δὲ εἶρξαί τε αὐτῶν τὴν ἔκβασιν οἱ Πέρσαι, καὶ ἐς τὸν ποταμὸν αὖθις ἀπώσασθαι. Καὶ ἐκ τούτου ἐπλεονέκτουν ἤδη οἱ σὺν Ἀλεξάνδρῳ τῇ τε ἄλλῃ ῥώμῃ καὶ ἐμπειρίᾳ, καὶ ὅτι ξυστοῖς κρανεΐνοις πρὸς παλτὰ ἐμά-

---

scheint, daß die erste Stelle immer von einem auf den andern überging, damit alle gleiche Ehre genossen; so hatte denn diesen Tag die Schwadron des Sokrates den Vorzug. — 32) zu κέρας als Nomen collect. Dieses Geschrei war dem Mars geheiligt, und darum mehrte es auch den Muth der Streitenden. — 33) Er breitete sich immer mehr aus, je mehr er sich näherte, und zog immer mehr Truppen in die Fronte. — 34) wo. — 35) cf. Vig.

χοντο. Ἔνθα δὴ καὶ Ἀλεξάνδρῳ ξυντρίβεται τὸ δόρυ ἐν τῇ μάχῃ· ὁ δὲ Ἄρετιν ᾔτει δόρυ ἕτερον, ἀναβολέα τῶν βασιλικῶν· τῷ δὲ καὶ αὐτῷ πονουμένῳ σύντετριμμένον τὸ δόρυ ἦν· ὁ δὲ τῷ ἡμίσει κεκλασμένου τοῦ δόρατος οὐκ ἀφανῶς ἐμάχετο· καὶ τοῦτο δείξας Ἀλεξάνδρῳ, ἄλλον αἰτεῖν ἐκέλευε. Δημάρατος δὲ, ἀνὴρ Κορίνθιος τῶν ἀμφ αὐτὸν ἑταίρων, δίδωσιν αὐτῷ τὸ αὑτοῦ δόρυ. Καὶ ὃς [36]) ἀναλαβὼν, καὶ ἰδὼν Μιθριδάτην τὸν Δαρείου γαμβρὸν πολὺ πρὸ τῶν ἄλλων προϊππεύοντα, καὶ ἐπάγοντα ἅμα οἱ ὥσπερ ἔμβολον τῶν ἱππέων, ἐξελαύνει καὶ αὐτὸς πρὸ τῶν ἄλλων· καὶ παίσας ἐς τὸ πρόσωπον τῷ δόρατι, καταβάλλει τὸν Μιθριδάτην. Ἐν δὲ τούτῳ Ῥοισάκης μὲν ἐπελαύνει τῷ Ἀλεξάνδρῳ, καὶ παίει Ἀλεξάνδρου τὴν κεφαλὴν τῇ κοπίδι, καὶ τοῦ μὲν κράνους τὶ ἀπέθραυσε, τὴν πληγὴν δὲ ἔσχε [37]) τὸ κράνος. Καὶ καταβάλλει καὶ τοῦτον Ἀλέξανδρος, παίσας τῷ ξυστῷ διὰ τοῦ θώρακος ἐς τὸ στέρνον· Σπιθριδάτης δὲ ἀνετέτατο μὲν ἤδη ἐπ᾽ Ἀλέξανδρον ὄπισθεν τὴν κοπίδα, ὑποφθάσας δὲ αὐτὸν Κλεῖτος ὁ Δρωπίδου παίει κατὰ τοῦ ὤμου, καὶ ἀποκόπτει τὸν ὦμον τοῦ Σπιθριδάτου ξὺν τῇ κοπίδι· καὶ ἐν τούτῳ ἐπεκβαίνοντες ἀεὶ τῶν ἱππέων ὅσοις προὐχώρει κατὰ τὸν ποταμὸν, προσεγίγνοντο τοῖς ἀμφ᾽ Ἀλέξανδρον.

Cap. IV. Καὶ οἱ Πέρσαι παιόμενοί τε πανταχόθεν ἤδη ἐς τὰ πρόσωπα αὐτοί τε καὶ οἱ ἵπποι τοῖς ξυστοῖς, καὶ πρὸς τῶν ἱππέων ἐξωθούμενοι, πολλὰ δὲ καὶ πρὸς τῶν ψιλῶν ἀναμεμιγμένων τοῖς ἱππεῦσι βλαπτόμενοι, ἐγκλίνουσι ταύτῃ πρῶτον, ᾗ Ἀλέξανδρος προεκινδύνευεν. Ὡς δὲ τὸ μέσον ἐνεδεδώκει αὐτοῖς, παρεῤῥήγνυντο δὴ καὶ τὰ ἐφ᾽ ἑκάτερα τῆς ἵππου· καὶ ἦν δὴ φυγὴ καρτερά. Τῶν μὲν δὴ ἱππέων τῶν Περσῶν ἀπέθανον εἰς χιλίους. Οὐ γὰρ πολλὴ ἡ δίωξις ἐγένετο, ὅτι ἐξετράπη Ἀλέξανδρος ἐπὶ τοὺς ξένους τοὺς μισθοφόρους· ὧν τὸ στῖφος, ᾗ τὸ πρῶτον ἐτάχθη, ἐκπλήξει μᾶλλόν τι τοῦ παραλόγου, ἢ λογισμῷ βεβαίῳ ἔμενε. Καὶ τούτοις τήν τε φάλαγγα ἐπαγαγὼν, καὶ τοὺς ἱππέας πάντῃ προσπεσεῖν κελεύσας, ἐν μέσῳ δι᾽ ὀλίγου κατακόπτει αὐτούς· ὥστε διέφυγε μὲν οὐδεὶς, ὅτι μὴ [38]) διέλαθέ τις ἐν τοῖς νεκροῖς· ἐζωγρήθησαν δὲ ἀμφὶ τοὺς δισχιλίους. Ἔπεσον δὲ καὶ οἱ ἡγεμόνες τῶν Περσῶν, Νιφάτης τε καὶ Πετίνης, καὶ Σπιθριδάτης ὁ Λυδίας σατράπης, καὶ ὁ τῶν Καππαδοκῶν ὕπαρχος Μιθροβουζάνης, καὶ Μιθριδάτης ὁ τοῦ Δαρείου γαμβρὸς, καὶ Ἀρβουπάλης ὁ Δαρείου τοῦ Ἀρταξέρξου παῖς, καὶ Φαρνάκης,

---

p. 3. — 36) cf. Vig. p. 25. — m. Gr. §. 186. — 37) wird durch κατέχειν inhibere, reprimere erklärt. — 38) §. 341. —

ἀδελφὸς οὗτος τῆς Δαρείου γυναικὸς, καὶ ὁ τῶν ξένων ἡγεμὼν Ὠμάρης. Ἀρσίτης δὲ ἐκ μὲν τῆς μάχης φεύγει ἐς Φρυγίαν, ἐκεῖ δὲ ἀποθνήσκει αὐτὸς πρὸς αὑτοῦ, ὡς ὁ λόγος, ὅτι αἴτιος ἐδόκει Πέρσαις γενέσθαι τοῦ ἐν τῷ τότε πταίσματος. Μακεδόνων δὲ τῶν μὲν ἑταίρων ἀμφὶ τοὺς εἴκοσι καὶ πέντε ἐν τῇ πρώτῃ προσβολῇ ἀπέθανον, καὶ τούτων χαλκαῖ εἰκόνες ἐν Δίῳ [39]) ἑστᾶσιν, Ἀλεξάνδρου κελεύσαντος Λύσιππον ποιῆσαι, ὅσπερ καὶ Ἀλέξανδρον μόνος προκριθεὶς ἐποίει. Τῶν δὲ ἄλλων ἱππέων, ὑπὲρ τοὺς ἑξήκοντα, πεζοὶ δὲ ἐς τοὺς τριάκοντα· καὶ τούτους τῇ ὑστεραίᾳ ἔθαψεν Ἀλέξανδρος ξὺν τοῖς ὅπλοις τε καὶ ἄλλῳ κόσμῳ· γονεῦσι δὲ αὐτῶν καὶ παισὶ τῶν τε κατὰ τὴν χώραν [40]) ἀτέλειαν ἔδωκε, καὶ ὅσαι ἄλλαι ἢ τῷ σώματι λειτουργίαι, ἢ κατὰ τὰς κτήσεις ἑκάστων εἰσφοραί. Καὶ τῶν τετρωμένων δὲ πολλὴν πρόνοιαν ἔσχεν, ἐπελθών τε αὐτὸς ἑκάστους καὶ τὰ τραύματα ἰδὼν, καὶ ὅπως τὶς ἐτρώθη ἐρόμενος, καὶ ὅ, τι πράττων [41]), εἰπεῖν τε καὶ ἀλαζονεύσασθαι οἱ παρασχών. Ὁ δὲ καὶ τῶν Περσῶν τοὺς ἡγεμόνας ἔθαψεν. Ἔθαψε δὲ καὶ τοὺς μισθοφόρους Ἕλληνας, οἳ ξὺν τοῖς πολεμίοις στρατεύοντες ἀπέθανον· ὅσους δὲ αὐτῶν αἰχμαλώτους ἔλαβε, τούτους δὲ δήσας ἐν πέδαις, εἰς Μακεδονίαν ἀπέπεμψεν ἐργάζεσθαι [42]).

---

39) Der Name einer macedonischen Stadt, wo ein Tempel Jupiters (Δῖον) gewesen zu seyn scheint. — 40) Sie waren frei von Abgaben Zehnten ꝛc. aller Naturprodukte, und durften keine Zahlungen noch Servituten leisten. — 41) sc. ἐτρώθη. — 42) Sklavenarbeiten, vorzüglich in Bergwerken. —

III.

Schlacht bei Issus.

Cap. I. Ὑπερβαλὼν τὸ ὄρος Δαρεῖος τὸ κατὰ τὰς πύλας τὰς Ἀμανικὰς [1]) καλουμένας, ὡς ἐπὶ Ἰσσὸν προῆγε, καὶ ἐγένετο κατόπιν Ἀλεξάνδρου λαθών. Τὴν δὲ Ἰσσὸν κατασχὼν, ὅσους διὰ νόσον ὑπολελειμμένους αὐτοῦ τῶν Μακεδόνων κατέλαβε, τούτους χαλεπῶς αἰκισάμενος ἀπέκτεινεν· ἐς δὲ τὴν ὑστεραίαν [2])

III.

Schlacht bei Issus.

1) Es giebt syrische Engpässe, zwischen dem Berge Amanus und dem Meere selbst, und amanische, nicht weit von den vorigen gelegen. Die ersteren hatte Parmenion auf Alexanders Befehl vorher besetzt, durch die letzteren hielt vielleicht Alexander den Zugang nach Cilicien unmöglich. So wie er Nachricht von Darius in Cilicien erhielt, beschloß er, ihn sogleich anzugreifen. Er ging also, um in Syrien eine Schlacht zu liefern, durch die syrischen Engpässe, und schlug sein Lager bei Myriandrus, einer syrischen Stadt auf. Darius aber, der den Alexander angreifen wollte, war durch die amanischen Engpässe in derselben Nacht, wo Alexander nach Syrien kam, nach Cilicien gezogen, und somit im Rücken der Macedonier, ohne daß es ihm oder seinen Gegnern bewußt war. Sobald nun dieß Alexander hörte, ging er sogleich durch die syrischen Pässe nach Cilicien zurück, und dann erfolgte die hier beschriebene Schlacht, wo Darius im Rücken die Stadt Issus und Cilicien, vor sich den Fluß Pinarus, Alexander aber vor sich denselben Fluß, und im Rücken die syrischen Pässe hatte. — τὸ ὄρος τὸ κατὰ τ. π. Ἀμαν. ist also der Berg Amanus. — 2) st. τῇ δὲ ὑστεραίᾳ. —

προὐχώρει ἐπὶ τὸν ποταμὸν τὸν Πίναρον. Καὶ Ἀλέξανδρος ὡς ἤκουσεν ἐν τῷ ὄπισθεν αὐτοῦ ὄντα τὸν Δαρεῖον, ἐπεὶ οὐ πιστὸς αὐτῷ ὁ λόγος ἐφαίνετο, ἀναβιβάσας εἰς τριακόντορον τῶν ἑταίρων τινὰς ἀποπέμπει ὀπίσω ἐπὶ Ἰσσὸν κατασκεψομένους εἰ τὰ ὄντα ἐξαγγέλλεται. Οἱ δὲ, ἀναπλεύσαντες τῇ τριακοντόρῳ, ὅτι κολπώδης ἦν ἡ ταύτῃ θάλασσα, μᾶλλόν τι εὐπετῶς κατέμαθον αὐτοῦ στρατοπεδεύοντας τοὺς Πέρσας· καὶ ἀπαγγέλλουσιν Ἀλεξάνδρῳ ἐν χερσὶν εἶναι Δαρεῖον. Ὁ δὲ συγκαλέσας στρατηγούς τε καὶ ἰλάρχας, καὶ τῶν ξυμμάχων τοὺς ἡγεμόνας, παρεκάλει θαῤῥεῖν μὲν ἐκ τῶν ἤδη σφίσι καλῶς κεκινδυνευμένων, καὶ ὅτι πρὸς νενικημένους ὁ ἀγὼν νενικηκόσιν αὐτοῖς ἔσται· καὶ ὅτι ὁ θεὸς ὑπὲρ σφῶν στρατηγεῖ ἄμεινον, ἐπὶ νοῦν Δαρείῳ ἀπαγὼν, καθεῖρξαι τὴν δύναμιν ἐκ τῆς εὐρυχωρίας ἐς τὰ στενόπορα· ἵνα σφίσι μὲν ξύμμετρον τὸ χωρίον ἀναπτύξαι τὴν φάλαγγα, τοῖς δὲ ἀχρεῖον τὸ πλῆθος ὅτι ἔσται τῇ μάχῃ, οὔτε τὰ σώματα, οὔτε τὰς γνώμας παραπλησίοις. Μακεδόνας τε καὶ Πέρσαις καὶ Μήδοις, ἐκ πάνυ πολλοῦ τρυφῶσιν, αὐτοὺς ἐν τοῖς πόνοις τοῖς πολεμικοῖς πάλαι ἤδη μετὰ κινδύνων ἀσκουμένους, ἄλλως τε καὶ [3]) δούλοις ἀνθρώποις ἐλευθέρους ἐς χεῖρας ἥξειν. Ὅσοι τε Ἕλληνες Ἕλλησιν [4]), οὐχ ὑπὲρ τῶν αὐτῶν μαχεῖσθαι, ἄλλα τοὺς μὲν ξὺν Δαρείῳ, ἐπὶ μισθῷ, καὶ οὐδὲ τούτῳ πολλῷ, κινδυνεύοντας· τοὺς δὲ ξὺν σφίσιν, ὑπὲρ τῆς Ἑλλάδος ἑκόντας ἀμυνομένους· βαρβάρων τε αὖ Θρᾶκας, καὶ Παίονας, καὶ Ἰλλυριοὺς, καὶ Ἀγριᾶνας, τοὺς εὐρωστοτάτους τε τῶν κατὰ τὴν Εὐρώπην καὶ μαχιμωτάτους, πρὸς τὰ ἀπονώτατά τε καὶ μαλακώτατα τῆς Ἀσίας γένη ἀντιτάξασθαι· ἐπὶ δὲ Ἀλέξανδρον ἀντιστρατηγεῖν Δαρείῳ. Ταῦτα μὲν οὖν ἐς πλεονεξίαν [5]) τοῦ ἀγῶνος ἐπεξῄει. Τὰ δὲ ἆθλα ὅτι μεγάλα ἔσται σφίσι τοῦ κινδύνου ἐπεδείκνυεν. Οὐ γὰρ τοὺς σατράπας [6]) τοὺς Δαρείου ἐν τῷ τότε κρατήσειν, οὐδὲ τὴν ἵππον τὴν ἐπὶ Γρανικῷ ταχθεῖσαν, οὐδὲ τοὺς δισμυρίους ξένους τοὺς μισθοφόρους, ἀλλὰ Περσῶν τε ὅ, τι περ ὄφελος καὶ Μήδων, καὶ ὅσα ἄλλα ἔθνη Πέρσαις καὶ Μήδοις ὑπήκοα ἐποικεῖ τὴν Ἀσίαν, καὶ αὐτὸν μέγαν βασιλέα παρόντα, καὶ ὡς οὐδὲν ὑπολειφθήσεται σφίσιν ἐπὶ τῷδε [7]) τῷ ἀγῶνι, ὅτι μὴ κρατεῖν τῆς Ἀσίας ξυμπάσης, καὶ πέρας τοῖς πολλοῖς πόνοις ἐπιθεῖναι. Ἐπὶ τούτοις [8]) δὲ τῶν τε εἰς τὸ

---

3) §. 331. — 4) sc. ἐς χεῖρας ἥξουσιν. — 5) d. h. um die bessere Beschaffenheit des Treffens von seiner Seite ihnen zu zeigen. — 6) die er am Granikus in des Darius Abwesenheit besiegt hatte. — 7) nach diesem Treffen. — 8) post haec. —

κοινὸν ξὺν λαμπρότητι ἤδη πεπραγμένων ὑπεμίμνησκε. Καὶ εἰ δή τῳ ἰδίᾳ τι διαπρεπὲς ἐς κάλλος τετολμημένον, ὀνομαστὶ ἕκαστον ἐπὶ τῷ ἔργῳ ἀνακαλῶν, καὶ τὸ αὐτοῦ 9) οὐκ ἀκίνδυνον ἐν ταῖς μάχαις ὡς ἀνεπαχθέστατα ἐπεξῄει. Λέγεται δὲ καὶ Ξενοφῶντος καὶ τῶν ἅμα Ξενοφῶντι μυρίων ἐς μνήμην ἐλθεῖν, ὡς οὐδέν τι οὔτε κατὰ πλῆθος οὔτε κατὰ τὴν ἄλλην ἀξίωσιν σφίσιν 10) ἐπεοικότες· οὐδὲ ἱππέων αὐτοῖς παρόντων Θεσσαλῶν, οὐδὲ Βοιωτῶν, ἢ Πελοποννησίων, οὐδὲ Μακεδόνων, ἢ Θρᾳκῶν, οὐδ' ὅση ἄλλη σφίσιν ἵππος ξυντέτακται· οὐδὲ τοξοτῶν, ἢ σφενδονητῶν, ὅτι μὴ Κρητῶν, ἢ Ῥοδίων ὀλίγων· καὶ τούτων ἐν τῷ κινδύνῳ ὑπὸ Ξενοφῶντος 11) αὐτοσχεδιασθέντων. Οἱ δὲ βασιλέα τε ξὺν πάσῃ τῇ δυνάμει πρὸς Βαβυλῶνι αὐτῇ ἐτρέψαντο, καὶ ἔθνη ὅσα ἄλλα κατιόντων εἰς τὸν Εὔξεινον πόντον καθ' ὁδὸν σφίσιν ἐπεγένετο, νικῶντες ἐπῆλθον· ὅσα τε ἄλλα ἐν τῷ τοιῷδε πρὸ τῶν κινδύνων ἐς παράκλησιν, ἀνδράσιν ἀγαθοῖς ἐξ ἀγαθοῦ ἡγεμόνος παραινεῖσθαι εἰκός. Οἱ δὲ ἄλλος ἄλλοθεν 12) δεξιούμενοί τε τὸν βασιλέα, καὶ τῷ λόγῳ ἐπαίροντες, ἄγειν ἤδη ἐκέλευον.

Cap. II. Ὁ δὲ τότε μὲν δειπνοποιεῖσθαι παραγγέλλει, προπέμπει δὲ [ὡς ἐπὶ τὰς πύλας], τῶν ἱππέων ὀλίγους καὶ τῶν τοξοτῶν προκατασκεψομένους τὴν ὁδὸν τὴν ὀπίσω, ὡς ἐπὶ τὰς πύλας· καὶ αὐτὸς τῆς νυκτὸς ἀναλαβὼν τὴν στρατιὰν πᾶσαν ᾔει, ὡς κατασχεῖν αὖθις τὰς πύλας. Ὡς δὲ ἀμφὶ μέσας νύκτας ἐκράτησεν αὖθις τῶν παρόδων, ἀνέπαυε τὴν στρατιὰν τὸ λοιπὸν τῆς νυκτὸς, αὐτοῦ ἐπὶ τῶν πετρῶν προφυλακὰς ἀκριβεῖς καταστησάμενος· ὑπὸ δὲ τὴν ἕω κατῄει ἀπὸ τῶν πυλῶν κατὰ τὴν ὁδόν· καὶ ἕως μὲν πάντῃ στενόπορα ἦν τὰ χωρία, ἐπὶ κέρως ἦγεν· ὡς δὲ διεχώρει ἐς πλάτος, ἀνέπτυσσεν 13) ἀεὶ τὸ κέρας ἐς φάλαγγα, ἄλλην καὶ ἄλλην τῶν ὁπλιτῶν τάξιν παράγων 14), τῇ μὲν, ὡς ἐπὶ τὸ ὄρος, ἐν ἀριστερᾷ δὲ, ὡς ἐπὶ τὴν θάλασσαν. Οἱ δὲ ἱππεῖς αὐτῷ τέως μὲν κατόπιν τῶν πεζῶν τεταγμένοι ἦσαν· ὡς δὲ ἐς τὴν εὐρυχωρίαν προῄεσαν, συνέτασσεν ἤδη τὴν στρατιὰν ὡς ἐς μάχην· πρώτους μὲν ἐπὶ τοῦ δεξιοῦ κέρως πρὸς

---

9) Auch seine Verachtung der Gefahren in den Treffen schilderte er ihnen mit möglichster Bescheidenheit. — 10) sc. Macedonibus. ἐπεοικότες sc. εἶναι. — 11) Xen. Anab. Lib. III, 3. — 12) Curt. III, 6, 17. pro se quisque dextram ejus amplexi. — 13) d. h. damit die Schlachtlinie allmählig die gehörige Länge bekäme. — 14) παράγειν ist der eigenthümliche Ausdruck, wenn man aus den Kolonnen in die lange Fronte vorrückt. cf. X. An. IV, 6, 6. — III, 4, 21. —

τῷ ὄρει τῶν πεζῶν τό, τε ἄγημα καὶ τοὺς ὑπασπιστὰς, ὧν ἡγεῖτο Νικάνωρ ὁ Παρμενίωνος· ἐχομένην δὲ τούτων, τὴν Κοίνου τάξιν· ἐπὶ δὲ τούτοις, τὴν Περδίκκου. Οὗτοι μὲν ἔς τε ἐπὶ τὸ μέσον τῶν ὁπλιτῶν ἀπὸ τοῦ δεξιοῦ ἀρξομένῳ 15) τεταγμένοι ἦσαν. Ἐπὶ δὲ τοῦ εὐωνύμου, πρώτη 16) μὲν Ἀμύντου τάξις ἦν, ἐπὶ δὲ ἡ Πτολεμαίου, ἐχομένη δὲ ταύτης, ἡ Μελεάγρου. Τοῦ δὲ εὐωνύμου τοῖς πεζοῖς μὲν Κρατερὸς ἐπετέτακτο 17) ἄρχειν, τοῦ δὲ ξύμπαντος εὐωνύμου Παρμενίων ἡγεῖτο· καὶ παρήγγελτο αὐτῷ, μὲ ἀπολείπειν τὴν θάλασσαν, ὡς μὴ κυκλωθεῖεν ἐκ τῶν βαρβάρων, ὅτι πάντη ὑπερφαλαγγήσειν αὐτῶν διὰ πλῆθος ἤμελλον. Δαρεῖος δὲ, ἐπειδὴ ἐξηγγέλθη αὐτῷ προσάγων ἤδη Ἀλέξανδρος ὡς πρὸς μάχην, τῶν μὲν ἱππέων διαβιβάζει πέραν τοῦ ποταμοῦ Πινάρου ἐς τρισμυρίους μάλιστα τὸν ἀριθμὸν, καὶ μετὰ τούτων τῶν πεζῶν ἐς δισμυρίους, ὅπως τὴν λοιπὴν δύναμιν καθ' ἡσυχίαν συντάξειε. Καὶ πρώτους μὲν τοῦ ὁπλιτικοῦ τοὺς Ἕλληνας τοὺς μισθοφόρους ἔταξεν τρισμυρίους, κατὰ τὴν φάλαγγα τῶν Μακεδόνων· ἐπὶ δὲ τούτοις, τῶν Καρδάκων 18) καλουμένων, [ἔνθεν καὶ ἔνθεν] ἐς ἑξακισμυρίους· ὁπλῖται δὲ ἦσαν καὶ οὗτοι. Τοσούτους γὰρ ἐπὶ φάλαγγος ἁπλῆς 19) ἐδέχετο τὸ χωρίον, ἵνα ἐτάσσοντο. Ἐπέταξε δὲ καὶ τῷ ὄρει τῷ ἐν ἀριστερᾷ σφῶν κατὰ τὸ Ἀλεξάνδρου δεξιὸν, ἐς δισμυρίους· καὶ τούτων ἔστιν οἱ κατὰ νώτου ἐγένοντο τῆς Ἀλεξάνδρου στρατιᾶς. Τὸ γαρ ὄρος ἵνα ἐπετάχθησαν, πῇ μὲν διεχώρει ἐς βάθος, καὶ κολπῶδές τι αὐτοῦ ὥσπερ ἐν θαλάσσῃ ἐγίνετο· ἔπειτα ἐς ἐπικαμπὴν προϊὼν τοὺς ἐπὶ ταῖς ὑπωρείαις τεταγμένους κατόπιν τοῦ δεξιοῦ κέρως τοῦ Ἀλεξάνδρου ἐποίει· τὸ δὲ ἄλλο πλῆθος αὐτοῦ ψιλῶν τε καὶ ὁπλιτῶν κατὰ ἔθνη συντεταγμένον ἐς βάθος οὐκ ὠφέλιμον, ὄπισθεν ἦν τῶν Ἑλλήνων τῶν μισθοφόρων, καὶ τοῦ ἐπὶ φάλαγγος τεταγμένου βαρβαρικοῦ. Ἐλέγετο γὰρ ἡ πᾶσα ξὺν

---

15) d. h. wenn man die Reihen von der Rechten zur Linken zu zählen anfängt. — 16) sc. ἀπὸ τοῦ εὐωνύμου ἀρξομένῳ. — 17) Craterus mit seinem Zuge ward ihnen beigesellt, um alle zu kommandiren, nicht nur seine und des Amyntas und Ptolemäus, und Meleagers, sondern auch des Perdikkas und Cönus Schaaren. — 18) eine Art Miethsoldaten bei den Persern, die sehr abgehärtet waren, und wegen geringen Soldes meistens nur vom Raube lebten. Pfeile, Wurfspieße und Schleudern waren ihre Waffen. — 19) dem doppelten Phalanx entgegen gesetzt, welcher bei gleicher Länge wegen verdoppelter Zahl der Soldaten eine größere Tiefe bekam. —

Δαρείῳ στρατιὰ μάλιστα ἐς ἑξήκοντα μυριάδας μαχίμους εἶναι. Ἀλέξανδρος δὲ, ὡς αὐτῷ πρόσω ἰόντι τὸ χωρίον διέσχεν ὀλίγον ἐς πλάτος, παρήγαγε τοὺς ἱππέας τούς τε ἑταίρους καλουμένους, καὶ τοὺς Θεσσαλοὺς [καὶ τοὺς Μακεδόνας]. Καὶ τούτους μὲν ἐπὶ τῷ δεξιῷ κέρᾳ ἅμα οἱ ἔταξε. Τοὺς δὲ ἐκ Πελοποννήσου, καὶ τὸ ἄλλο, τὸ συμμαχικὸν, ἐπὶ τὸ εὐώνυμον πέμπει ὡς Παρμενίωνα. Δαρεῖος δὲ, ὡς συντεταγμένη ἤδη ἦν αὐτῷ ἡ φάλαγξ, τοὺς ἱππέας οὕς τινας πρὸ τοῦ ποταμοῦ ἐπὶ τῷδε προτετάχει, ὅπως ἀσφαλῶς αὐτῷ ἡ ἔκταξις τῆς στρατιᾶς γένοιτο, ἀνεκάλεσεν ἀπὸ ξυνθήματος. Καὶ τούτων τοὺς μὲν πολλοὺς ἐπὶ τῷ δεξιῷ κέρᾳ πρὸς τῇ θαλάσσῃ κατὰ Παρμενίωνα ἔταξεν, ὅτι ταύτῃ μᾶλλόν τι ἱππάσιμα ἦν· μέρος δέ τι αὐτῶν καὶ ἐπὶ τὸ εὐώνυμον πρὸς τὰ ὄρη παρήγαγεν. Ὡς δὲ ἀχρεῖοι ἐνταῦθα διὰ στενότητα τῶν χωρίων ἐφαίνοντο, καὶ τούτων τοὺς πολλοὺς παριππεῦσαι ἐπὶ τὸ δεξιὸν κέρας σφῶν ἐκέλευσεν. Αὐτὸς δὲ Δαρεῖος τὸ μέσον τῆς πάσης τάξεως ἐπεῖχε, καθάπερ νόμος τοῖς Περσῶν βασιλεῦσι τετάχθαι· καὶ τὸν νοῦν τῆς τάξεως ταύτης Ξενοφῶν [20]) ὁ τοῦ Γρύλλου ἀναγέγραφεν.

Ἐν τούτῳ δὲ Ἀλέξανδρος κατιδὼν ὀλίγου πᾶσαν τὴν τῶν Περσῶν ἵππον μετακεχωρηκυῖαν ἐπὶ τὸ εὐώνυμον τὸ ἑαυτοῦ, ὡς πρὸς τὴν θάλασσαν, αὐτῷ δὲ τοὺς Πελοποννησίους μόνους, καὶ τοὺς ἄλλους τῶν ξυμμάχων ἱππέας ταύτῃ τεταγμένους, πέμπει κατὰ τάχος τοὺς Θεσσαλοὺς ἱππέας ἐπὶ τὸ εὐώνυμον· κελεύσας μὴ πρὸ τοῦ μετώπου τῆς πάσης τάξεως παριππεῦσαι, τοῦ μὴ [21]) καταφανεῖς τοῖς πολεμίοις γενέσθαι μεταχωροῦντας, ἀλλὰ κατόπιν τῆς φάλαγγος ἀφανῶς διελθεῖν. Προέταξε [22]) δὲ τῶν μὲν ἱππέων κατὰ τὸ δεξιὸν τοὺς προδρόμους, ὧν ἡγεῖτο Πρωτόμαχος, καὶ τοὺς Παίονας, ὧν ἡγεῖτο Ἀρίστων· τῶν δὲ πεζῶν τοὺς τοξότας, ὧν ἦρχεν Ἀντίοχος. τοὺς δὲ Ἀγριᾶνας, ὧν ἦρχεν Ἄτταλος, καὶ τῶν ἱππέων τινὰς καὶ τῶν τοξοτῶν, ἐς ἐπικαμπὴν [23]) πρὸς τὸ ὄρος τὸ κατὰ νώτου ἔταξεν, ὥς τε κατὰ τὸ δεξιὸν αὐτῷ τὴν φάλαγγα ἐς δύο κέρατα διέχουσαν τετάχθαι, τὸ μὲν ὡς πρὸς Δαρεῖόν τε, καὶ τοὺς πέραν τοῦ ποταμοῦ, τοὺς πάντας [24]) Πέρσας· τὸ δὲ, ὡς πρὸς τοὺς ἐπὶ τῷ ὄρει κατὰ νώτου σφῶν

---

20) cf. Xen. An. I, 8, 22. — 21) §. 217. — 22) d. h. auf der Seite, nicht auf der Fronte. τῶν μὲν ἱππέων auf Seite der Reiter, τῶν δὲ πεζῶν, auf Seite der Fußgänger. — 23) einige Reiter und Bogenschützen stellte er schräg im Rücken gegen den Berg hin. D. h. sie machten Front gegen den Berg, wodurch die τάξις ἀμφίστομος gebildet wurde. — 24) st. τοὺς πολλοὺς τῶν Περσῶν. —

τεταγμένους. Τοῦ δὲ εὐωνύμου προετάχθησαν, τῶν μὲν πεζῶν, οἵ τε Κρῆτες τοξόται, καὶ οἱ Θρᾷκες, ὧν ἡγεῖτο Σιτάλκης· πρὸ τούτων δὲ ἡ ἵππος ἡ κατὰ τὸ εὐώνυμον. Οἱ δὲ μισθοφόροι ξένοι πᾶσιν ἐπετάχθησαν [25]). Ἐπεὶ δὲ οὔτε πυκνὴ αὐτῶν [26]) ἡ φάλαγξ κατὰ τὸ δεξιὸν τὸ ἑαυτοῦ ἐφαίνετο, πολύ τε ταύτῃ ὑπερφαλαγγήσειν οἱ Πέρσαι ἐδόκουν, ἐκ τοῦ μέσου ἐκέλευσε δύο ἴλας τῶν ἑταίρων, τήν τε Ἀνθεμουσίαν, ἧς ἰλάρχης ἦν Περοίδας ὁ Μενεσθέως, καὶ τὴν Λευγαίαν καλουμένην, ἧς ἡγεῖτο Παντόρδανος ὁ Κλεάνδρου, ἐπὶ τὸ δεξιὸν ἀφανῶς παρελθεῖν. Καὶ τοὺς τοξότας δὲ, καὶ μέρος τῶν Ἀγριάνων, καὶ τῶν Ἑλλήνων μισθοφόρων ἔστιν οὓς κατὰ τὸ δεξιὸν τὸ αὐτοῦ ἐπὶ μετώπου παραγαγὼν, ἐξέτεινεν ὑπὲρ τὸ τῶν Περσῶν κέρας τὴν [27]) φάλαγγα. Ἐπεὶ γὰρ οἱ ὑπὲρ τοῦ ὄρους τεταγμένοι οὔτε κατῄεσαν, ἐκδρομῆς τε ἐπ' αὐτοὺς τῶν Ἀγριάνων καὶ τῶν τοξοτῶν ὀλίγων κατὰ πρόσταξιν Ἀλεξάνδρου γενομένης, ῥᾳδίως ἀπὸ τῆς ὑπωρείας [28]) ἀνασταλέντες, ἐς τὸ ἄκρον ἀνέφυγον, ἔγνω καὶ τοῖς κατ' αὐτοὺς τεταγμένοις δυνατὸς ὢν χρήσασθαι ἐς ἀναπλήρωσιν [29]) τῆς φάλαγγος, ἐκείνοις δὲ ἱππέας τριακοσίους ἐπιτάξαι ἐξήρκεσεν.

---

25) sie hatten die letzte Stelle links. — 26) sc. Περσῶν. Der Sinn ist: weil die Perser den Alexander auf seinem rechten Flügel weit zu überflügeln schienen, so mußte er die Fronte weiter ausdehnen. Als er aber umher sah, wo er etwa Truppen hiezu wegnehmen könnte, so bemerkte er, daß der seinem rechten entgegenstehende linke persische Flügel nicht gar voll sey. Diesen gegenüber nahm er daher von der Mitte (d. h. von den Kerntruppen, ἑταῖροι) zwei Schwadronen, jedoch so, daß nur die Tiefe, nicht die Länge vermindert wurde. — Ἀνθεμοῦς, eine Stadt Macedoniens. — 27) Phalanx ist hier die zusammenhängende Fronte. — 28) Man unterscheidet: ἀκρώρεια, montis vertex, ὑπώρεια, latera, τέρμα, radices. — 29) d. h. die den Persern auf dem Berge gegenüber gestellten. — Die ganze Schlachtordnung, von der Rechten zur Linken gezählt, war nun folgende: 1) einige griechische Söldner, Reiterei. 2) Einige Agrianer unter Attalus. 3) Einige Bogenschützen. 4) Die Leugäische Schwadron unter Pantordanus. 5) Die Anthemusische Schwadron unter Peroda, beide ἑταῖροι. 6) Päoner unter Ariston. 7) Vorläufer unter Protomachus. 8) Reiter der Auserlesenen unter Philotas. 9) Bogenschützen unter Antiochus. 10) Eine Schaar (agema) Fußvolk und Hypaspisten unter Nikanor. 11) Pezetären oder Hopliten, und zwar die Schaar

Cap. III. Οὕτω δὴ τεταγμένους χρόνον μέν τινα προῆγεν [30]) ἀναπαύων, ὥς τε καὶ πάνυ ἔδοξε σχολαία αὐτῷ ἡ πρόοδος. Τοὺς γὰρ βαρβάρους, ὅπως τὰ πρῶτα ἐτάχθησαν, οὐκέτι ἀντεπῆγε Δαρεῖος, ἀλλ' ἐπὶ τοῦ ποταμοῦ ταῖς ὄχθαις, πολλαχῇ μὲν ἀποκρήμνοις οὔσαις, ἔστι δὲ ὅπου [31]) καὶ χάρακα παρατείνας αὐταῖς, ἵνα εὐεφοδώτερα ἐφαίνετο, οὕτως ἔμενεν. Καὶ ταύτῃ ὡς δῆλος ἐγένετο τοῖς ἀμφ' Ἀλέξανδρον τῇ γνώμῃ δεδουλωμένος. Ὡς δὲ ὁμοῦ ἤδη ἦν [32]) τὰ στρατεύματα, παριππεύων πάντη Ἀλέξανδρος, παρεκάλει ἄνδρας ἀγαθοὺς γίγνεσθαι· οὐ τῶν ἡγεμόνων μόνον τὰ ὀνόματα ξὺν τῷ πρέποντι κόσμῳ [33]) ἀνακαλῶν, ἀλλὰ καὶ ἰλάρχας καὶ λοχαγοὺς ὀνομαστὶ τῶν ξένων τῶν μισθοφόρων, ὅσοι κατ' ἀξίωσιν, ἤ τινα ἀρετὴν γνωριμώτεροι ἦσαν· καὶ αὐτῷ πανταχόθεν βοὴ ἐγένετο, μὴ διατρίβειν, ἀλλὰ ἐσβάλλειν ἐς τοὺς πολεμίους. Ὁ δὲ ἦγεν ἐν τάξει ἔτι τὰ μὲν πρῶτα, καίπερ ἐν ἀπόπτῳ ἤδη ἔχων τὴν Δαρείου δύναμιν, βάδην, τοῦ μὴ διασπασθῆναί τι ἐν τῇ ξυντονωτέρᾳ πορείᾳ κυμῆναν [34]) τῆς φάλαγγος. Ὡς δὲ ἐντὸς βέλους [35]) ἐγίγνοντο, πρῶτοι δὴ οἱ κατ' Ἀλέξανδρον, καὶ αὐτὸς Ἀλέξανδρος ἐπὶ τοῦ δεξιοῦ τεταγμένος, δρόμῳ ἐς τὸν ποταμὸν ἐνέβαλλον, ὡς τῇ τε ὀξύτητι τῆς ἐφόδου ἐκπλῆξαι τοὺς Πέρσας, καὶ τοῦ θᾶσσον ἐς χεῖρας ἐλθόντας, ὀλίγα πρὸς τῶν τοξοτῶν βλάπτεσθαι. Καὶ ξυνέβη ὅπως εἴκασεν Ἀλέξανδρος. Εὐθὺς γὰρ ὡς ἐν χερσὶν ἡ μάχη ἐγένετο, τρέπονται

---

des Cönus, Perdikkas, Meleager, Ptolemäus, Amyntas, Craterus, alle unter Kraterus. 12) Cretenser, Bogenschützen. 13) Thracische Schleuderer unter Sitalkes. Dann folgten Reiter, und zwar 14) Peloponnesier und andere Bundesgenossen. 15) Thessaler. 16) Griechische Söldner, welche an das Meer stießen. Die ganze Schlachtordnung war in zwei Flügel getheilt. Den rechten commandirte Alexander, den linken Parmenion. Bei den Persern waren auf dem rechten Flügel, dem Parmenion gegenüber 1) 30,000 Reiter unter Nabarzanes. 2) 30,000 griechische Söldner. Dem Flügel Alexanders gegenüber. 3) 60,000 Kardaker. 4) Einige Reiter. Der ganze übrige Heerhaufe stand hinterhalb. — 30) Alexander ging voran, und hielt die Seinen zurück (ἀναπαύων), daß sie nicht zu früh zum Kampfe kämen, und inzwischen ließ er sie bisweilen Halt machen, daß ihr Auge die Menge der Feinde leichter ertragen konnte. — 31) irgendwo. — 32) jam in conspectu sed extra teli jactum utraque acies erat. So Curtius. — 33) mit gebührendem Lobe. — 34) cf. Xen. anab. I, 8, 18. — 35) Sie schossen 600 Fuß

τοῦ Περσικοῦ στρατεύματος οἱ τῷ ἀριστερῷ κέρᾳ ἐπιτεταγμένοι· καὶ ταύτῃ μὲν ἐνίκα λαμπρῶς Ἀλέξανδρός τε καὶ οἱ ἀμφ'[36]) αὐτόν· οἱ δὲ Ἕλληνες οἱ μισθοφόροι, οἱ σὺν[37]) Δαρείῳ, ᾗ διέσχε τῶν Μακεδόνων ἡ φάλαγξ, ὡς ἐπὶ τὸ δεξιὸν κέρας παραῤῥαγεῖσα, (ὅτι Ἀλέξανδρος μὲν σπουδῇ ἐς τὸν ποταμὸν ἐμβαλὼν, καὶ ἐν χερσὶ τὴν μάχην ποιήσας, ἐξώθει ἤδη τοὺς ταύτῃ τεταγμένους τῶν Περσῶν· οἱ δὲ κατὰ μέσων τῶν Μακεδόνων, οὔτε τῇ ἴσῃ σπουδῇ ἥψαντο τοῦ ἔργου, καὶ πολλαχῇ κρημνώδεσι ταῖς ὄχθαις ἐντυγχάνοντες, τὸ μέτωπον τῆς φάλαγγος οὐ δυνατοὶ ἐγένοντο ἐν τῇ αὐτῇ τάξει διασώσασθαι) ταύτῃ ἐμβάλλουσιν οἱ Ἕλληνες τοῖς Μακεδόσιν, ᾗ μάλιστα διεσπασμένην αὐτοῖς τὴν φάλαγγα κατεῖδον. Καὶ τὸ ἔργον ἐνταῦθα καρτερὸν ἦν, τῶν μὲν ἐς τὸν ποταμὸν ἀπώσασθαι τοὺς Μακεδόνας, καὶ τὴν νίκην τοῖς ἤδη φεύγουσιν αὐτῶν ἀνασώσασθαι· τῶν Μακεδόνων δὲ, τῆς τε Ἀλεξάνδρου ἤδη φαινομένης εὐπραγίας μὴ λειφθῆναι, καὶ τὴν δόξαν τῆς φάλαγγος, ὡς ἀμάχου δὴ ἐς τὸ τότε διαβεβοημένης μὴ ἀφανίσαι. Καί τι καὶ τοῖς γένεσι, τῷ τε Ἑλληνικῷ καὶ τῷ Μακεδονικῷ, φιλοτιμίας ἐνέπεσεν ἐς ἀλλήλους. Καὶ ἐνταῦθα πίπτει Πτολεμαῖός τε ὁ Σελεύκου, ἀνὴρ ἀγαθὸς γενόμενος, καὶ ἄλλοι ἐς εἴκοσι μάλιστα καὶ ἑκατὸν, τῶν οὐκ ἠμελημένων Μακεδόνων.

Cap. IV. Ἐν τούτῳ δὲ αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως τάξεις, τετραμμένους ἤδη τοὺς κατὰ σφᾶς τῶν Περσῶν ὁρῶντες, ἐπὶ τοὺς ξένους τε τοὺς μισθοφόρους τοὺς Δαρείου, καὶ τὸ πονούμενον σφῶν ἐπικάμψαντες, ἀπὸ τοῦ ποταμοῦ ἀπωσάντο αὐτούς· καὶ κατὰ τὸ παρεῤῥωγὸς τοῦ Περσικοῦ στρατεύματος ὑπερφαλαγγήσαντες, ἐς τὰ πλάγια ἐμβεβληκότες, ἤδη ἔκοπτον τοὺς ξένους· καὶ οἱ ἱππεῖς δὲ οἱ τῶν Περσῶν κατὰ τοὺς Θετταλοὺς τεταγμένοι, οὐκ ἔμειναν ἐντὸς[38]) τοῦ ποταμοῦ ἐν αὐτῷ τῷ ἔργῳ, ἀλλ' ἐπιδιαβάντες[39]) εὐρώστως ἐνέβαλλον εἰς τὰς ἴλας τῶν Θετταλῶν· καὶ ταύτῃ ξυνέστη ἱππομαχία κρατερά· οὐδὲ πρόσθεν ἐνέκλιναν οἱ Πέρσαι, πρὶν Δαρεῖόν τε πεφευγότα ᾔσθοντο, καὶ πρὶν ἀποῤῥαγῆναι σφῶν τοὺς μισθοφόρους συγκοπέντας ὑπὸ τῆς φάλαγγος· τότε δὲ ἤδη λαμπρά τε καὶ ἐκ πάντων ἡ φυγὴ ἐγίγνετο· καὶ οἵ τε τῶν Περσῶν ἵπποι ἐν τῇ ἀναχωρήσει ἐκακοπάθουν, βαρέως ὡπλισμένους[40]) τοὺς ἐμβάτας σφῶν φέροντες, καὶ αὐτοὶ οἱ ἱππεῖς κατὰ στενὰς ὁδοὺς, πλήθει τε πολλοὶ,

---

weit. — 36) cf. Vig. p. 8. — 37) cf. Vig. p. 20. — 38) diesseits des Flusses. — 39) einem folgen, der hinübergegangen ist, nach einem hinübergehen. — εὐρώστως constr. zu ἐνέβαλλον. — 40) cf. Herod. VII, 61 und 84. —

καὶ πεφοβημένοι καὶ σὺν ἀταξίᾳ ἀποχωροῦντες, οἱ μεῖον ἀπ' ἀλλήλων καταπατούμενοι ἢ πρὸς τῆς διώξεως τῶν πολεμίων ἐβλάπτοντο, καὶ οἱ Θετταλοὶ εὐρώστως αὐτοῖς ἐπέκειντο· ὥς τε οὐ μεῖον ἢ ὡς πεζῶν φόνος ἐν τῇ φυγῇ τῶν ἱππέων ἐγίγνετο. Δαρεῖος δὲ, ὡς αὐτῷ τὸ πρῶτον ὑπ' Ἀλεξάνδρου ἐφοβήθη τὸ κέρας τὸ εὐώνυμον, καὶ ταύτῃ ἀποῤῥηγνύμενον κατεῖδε τοῦ ἄλλου στρατοπέδου, εὐθὺς, ὡς εἶχεν ἐπὶ τοῦ ἅρματος, σὺν τοῖς πρώτοις ἔφευγε καὶ ἔς τε μὲν ὁμαλοῖς χωρίοις ἐν τῇ φυγῇ ἐτύγχανεν, ἐπὶ τοῦ ἅρματος διεσώζετο. Ὡς δὲ φάραγξί τε καὶ ἄλλαις δυσχωρίαις ἐνέκυρσε, τὸ μὲν ἅρμα ἀπολείπει αὐτοῦ, καὶ τὴν ἀσπίδα, καὶ τὸν κάνδυν ἐκδύς· ὁ δὲ καὶ τὸ τόξον ἀπολείπει ἐπὶ τοῦ ἅρματος· αὐτὸς δὲ ἵππον ἐπιβὰς ἔφευγε. Καὶ ἡ νὺξ οὐ διὰ μακροῦ ἐπιγινομένη ἀφείλετο αὐτὸν, τὸ πρὸς Ἀλέξανδρον [41]) ἁλῶναι. Ἀλέξανδρος γὰρ ἔς τε μὲν φάος ἦν, ἀνὰ κράτος ἐδίωκεν· ὡς δὲ συνεσκόταζέ τε ἤδη, καὶ τὰ πρὸ ποδῶν ἀφανῆ ἦν, ἐς τὸ ἔμπαλιν ἐτράπετο ὡς ἐπὶ τὸ στρατόπεδον, τὸ μέν τοι ἅρμα τὸ Δαρείου ἀπολαβὼν, καὶ τὴν ἀσπίδα ἐπ' αὐτῷ, καὶ τὸν κάνδυν, καὶ τὸ τόξον. Καὶ γὰρ καὶ ἡ δίωξις βραδυτέρα αὐτῷ ἐγεγόνει, ὅτι ἐν τῇ πρώτῃ παραῤῥήξει τῆς φάλαγγος ἐπιστρέψας καὶ αὐτὸς οὐ πρόσθεν ἐς τὸ διώκειν ἐτράπετο, πρὶν τούς τε μισθοφόρους τοὺς ξένους καὶ τὸ τῶν Περσῶν ἱππικὸν ἀπὸ τοῦ ποταμοῦ ἀπωσθέντας κατεῖδε. Τῶν δὲ Περσῶν ἀπέθανον μὲν Ἀρσάμης καὶ Ῥεομίθρης καὶ Ἀτιζύης, τῶν ἐπὶ Γρανίκῳ ἡγησαμένων τοῦ ἱππικοῦ. Ἀποθνήσκει δὲ καὶ Σαβάκης ὁ Αἰγύπτου σατράπης, καὶ Βουβάκης, τῶν ἐντίμων Περσῶν. Τὸ δὲ ἄλλο πλῆθος, εἰς δέκα μάλιστα μυριάδας, καὶ ἐν τούτοις ἱππεῖς ὑπὲρ τοὺς μυρίους· ὥστε λέγει Πτολεμαῖος ὁ Λάγου, ξυνεπισπόμενος τότε [42]) Ἀλεξάνδρῳ, τοὺς μετὰ σφῶν διώκοντας Δαρεῖον, ὡς ἐπὶ φάραγγί τινι ἐν τῇ διώξει ἐγένοντο, ἐπὶ τῶν νεκρῶν διαβῆναι τὴν φάραγγα. Τό τε στρατόπεδον τὸ Δαρείου εὐθὺς ἐξ ἐφόδου ἑάλω, καὶ ἡ μήτηρ, καὶ ἡ γυνὴ, αὐτὴ δὲ καὶ ἀδελφὴ Δαρείου, καὶ υἱὸς Δαρείου νήπιος. Καὶ θυγατέρες δύο ἑάλωσαν, καὶ ἄλλαι ἀμφ' αὐτὰς Περσῶν τῶν ὁμοτίμων [43]) γυναῖκες οὐ πολλαί. Οἱ γὰρ ἄλλοι Πέρσαι τὰς γυναῖκας σφῶν ξὺν τῇ ἄλλῃ κατασκευῇ ἐς Δαμασκὸν ἔτυχον ἐσταλκότες· ἐπεὶ καὶ Δαρεῖος

---

41) gefangen zu Alexander führen. — 42) damals, bei der Verfolgung des Darius. — 43) cf. Xen. Cyr. I, 2, 15. VII, 5, 85. Die Edlen, Vornehmen bei den Persern. Sie hießen so, weil sie gleiche Erziehung, gleichen Anspruch auf Aemter und Ehrenstellen, gleiche Würde (ὁμοίαν τιμήν) hatten. —

τῶν τε χρημάτων τὰ πολλὰ, καὶ ὅσα ἄλλα μεγάλῳ βασιλεῖ ἐς πολυτελῆ δίαιταν καὶ στρατευομένῳ ὅμως συνέπεται, πεπόμφει ἐς Δαμασκόν· ὥς τε ἐν τῷ στρατεύματι οὐ πλείονα ἢ τρισχίλια τάλαντα ἑάλω. Ἀλλὰ καὶ τὰ ἐν Δαμασκῷ χρήματα ὀλίγον ὕστερον ἑάλω ὑπὸ Παρμενίωνος ἐπ᾽ αὐτὸ τοῦτο σταλέντος. Τοῦτο τό τέλος τῇ μάχῃ ἐκείνῃ ἐγένετο, ἐπὶ ἄρχοντος Ἀθηναίοις Νικοστράτου, μηνὸς Μαιμακτηριῶνος.

IV.

Schlacht bei Arbela.

Cap. I. *Δαρεῖος ἐστρατοπεδεύκει ἐν Γαυγαμήλοις, πρὸς ποταμῷ Βουμώδῳ, ἀπέχων Ἀρβήλων τῆς πόλεως ὅσον ἑξακοσίους σταδίους, ἐν χώρῳ ὁμαλῷ πάντη. Ἐλέγετο δὲ ἡ πᾶσα στρατιὰ Δαρείου, ἱππεῖς μὲν ἐς τετρακισμυρίους, πεζοὺς δὲ ἐς ἑκατὸν μυριάδας· καὶ ἅρματα δρεπανηφόρα διακόσια, ἐλέφαντες δὲ οὐ πολλοὶ, ἀλλὰ ἐς πεντεκαίδεκα μάλιστα, Ἰνδοῖς τοῖς ἐπὶ τάδε τοῦ Ἰνδοῦ ἦσαν. Ταῦτα ὡς ἐξηγγέλθη Ἀλεξάνδρῳ πρὸς τῶν κατασκόπων τῶν Περσῶν, ὅσοι ἑάλωσαν, ἔμεινεν αὐτοῦ ἵνα ἐξηγγέλθη, ἡμέρας τέσσαρας· καὶ τήν τε στρατιὰν ἐκ τῆς ὁδοῦ ἀνέπαυσε, τό τε στρατόπεδον τάφρῳ τε καὶ χάρακι ἐτείχισεν. Ἔγνω γὰρ τὰ μὲν σκευοφόρα ἀπολείπειν, καὶ ὅσοι τῶν στρατιωτῶν ἀπόμαχοι ἦσαν· αὐτὸς δὲ ξὺν τοῖς μαχίμοις, οὐδὲν ἄλλο ὅτι μὴ ὅπλα φέρουσιν, ἰέναι ἐς τὸν ἀγῶνα. Ἀναλαβὼν οὖν τὴν δύναμιν νυκτὸς ἦγεν ἀμφὶ δευτέραν φυλακὴν μάλιστα, ὡς ἅμ' ἡμέρᾳ προσμίξαι τοῖς βαρβάροις. Δαρεῖος δὲ, ὡς προσηγγέλθη αὐτῷ προσάγων* 1) *ἤδη Ἀλέξανδρος, ἐκτάσσει τὴν στρατιὰν ὡς ἐς μάχην· καὶ Ἀλέξανδρος ἦγεν ὡσαύτως τεταγμένους. Καὶ ἀπεῖχε μὲν ἀλλήλων τὰ στρατόπεδα ὅσον ἑξήκοντα σταδίους· οὐ μὴν πω καθεώρων ἀλλήλους· γήλοφοι γὰρ ἐν μέσῳ ἐπίπροσθεν ἀμφοῖν ἦσαν. Ὡς δὲ ἀπεῖχεν Ἀλέξανδρος ὅσον ἐς τριάκοντα σταδίους, καὶ κατ' αὐτῶν* 2) *ἤδη τῶν γηλόφων ᾔει αὐτῷ ὁ στρατός· ἐνταῦθα ὡς εἶδε τοὺς βαρβάρους, ἔστησε τὴν αὐτοῦ φάλαγγα· καὶ ξυγκαλέσας αὐτούς τε τοὺς ἑταίρους, καὶ στρατηγοὺς, καὶ ἰλάρχας, καὶ τῶν συμμάχων τε καὶ τῶν μισθοφόρων ξένων τοὺς*

IV.

Schlacht bei Arbela.

1) §. 314, b. — 2) auf der Höhe selbst. —

ἡγεμόνας, ἐβουλεύετο, εἰ αὐτόθεν ἐπάγοι ἤδη τὴν φάλαγγα, ὡς οἱ πλεῖστοι ἄγειν ἐκέλευον· ἢ (καθάπερ Παρμενίωνι καλῶς ἐδόκει) τότε μὲν αὐτοῦ καταστρατοπεδεύειν [3]), κατασκέψασθαι δὲ τόν τε χῶρον ξύμπαντα, εἴ δή τι ὕποπτον αὐτοῦ ἢ ἄπορον ᾖ, ἢ εἴ ποι τάφροι ἢ σκόλοπες καταπεπηγότες ἀφανεῖς· καὶ τὰς τάξεις τῶν πολεμίων ἀκριβέστερον κατιδεῖν. Καὶ νικᾷ Παρμενίων τῇ γνώμῃ· καὶ καταστρατοπεδεύουσιν αὐτοῦ ὅπως τεταγμένοι ἔμελλον ἰέναι ἐς τὴν μάχην. Ἀλέξανδρος δὲ, ἀναλαβὼν τοὺς ψιλοὺς καὶ τῶν ἱππέων τοὺς ἑταίρους, περιῄει ἐν κύκλῳ, σκοπῶν τὴν χώραν πᾶσαν ἵνα τὸ ἔργον αὐτῷ ἔσεσθαι ἔμελλεν. Ἐπανελθὼν δὲ, καὶ ξυγκαλέσας αὖθις τοὺς αὐτοὺς ἡγεμόνας, αὐτοὺς μὲν οὐκ ἔφη χρῆναι παρακαλεῖσθαι πρὸς οὗ ἐς τὸν ἀγῶνα· πάλαι γὰρ εἶναι δι᾽ ἀρετήν τε τὴν σφῶν παρακεκλημένους, καὶ ὑπὸ τῶν πολλάκις ἤδη καλῶν ἔργων ἀποδεδειγμένων. Τοὺς κατὰ σφᾶς δὲ ἑκάστους ἐξορμᾷν ἠξίου, λοχαγόν τε λοχίτας, καὶ ἰλάρχην τὴν ἴλην τὴν αὐτοῦ ἕκαστον, καὶ ταξιάρχους τὰς τάξεις, τούς τε ἡγεμόνας τῶν πεζῶν τὴν φάλαγγα, ἕκαστον τὴν οἱ ἐπιτετραμμένην· ὡς ἐν τῇδε τῇ μάχῃ οὐχ ὑπὲρ κοίλης Συρίας, ἢ Φοινίκης, οὐδὲ ὑπὲρ Αἰγύπτου, ὡς πρόσθεν, μαχουμένους, ἀλλὰ ὑπὲρ τῆς ξυμπάσης Ἀσίας. Οὕς τινας χρὴ ἄρχειν ἐν τῷ τότε κριθησόμενον. Οὔκουν [4]) τὴν ἐς τὰ καλὰ ἐξόρμησιν διὰ πολλῶν ἀναγκαίαν αὐτοῖς εἶναι οἴκοθεν τοῦτο ἔχουσιν· ἀλλὰ κόσμου τε ἐν τῷ κινδύνῳ ὅπως τὶς καθ᾽ αὑτὸν ἐπιμελήσεται, καὶ σιγῆς ἀκριβοῦς, ὁπότε σιγῶντας ἐπιέναι δέοι· καὶ αὖ λαμπρᾶς τῆς βοῆς, ἵνα ἐμβοῆσαι καλόν· καὶ ἀλαλαγμοῦ [5]) ὡς φοβερωτάτου, ὁπότε ἐπαλαλάξαι καιρός. Αὐτοί τε ὅπως ὀξέως κατακούοιεν τῶν τε παραγγελλομένων, καὶ παρ᾽ αὐτῶν αὖ ὅπως ἐς τὰς τάξεις ὀξέως παραδιδῶνται τὰ παραγγέλματα· ἕν [6]) τε τῷ καθ᾽ αὑτὸν ἕκαστον καὶ τὸ πᾶν μεμνῆσθαι ξυγκινδυνεῦόν τε ἀμελουμένῳ, καὶ δι᾽ ἐπιμελείας ἐκπονουμένῳ ξυνορθούμενον.

Cap. II. Ταῦτα καὶ τοιαῦτα ἄλλα οὐ πολλὰ παρακαλέσας

---

3) vermöge der vorhergehenden Construktion sollte es heißen καταστρατοπεδεύοι, κατασκέψαιτο und κατίδοι — somit haben wir hier ein Anakoluth. s. d. Gr. — Die Infinit. sind aus dem ausgelassenen εἰ ἐδόκει entstanden. — 4) §. 329, V. — 5) ἀλαλαγμὸς und βοή sind hier unterschieden. Letzteres scheint daher das Geschrei der Einzelnen zu bedeuten, da hingegen ἀλαλαγμός der von allen erhobene Ruf ἀλαλά ist, welcher dem Mars heilig war. αὐτοί τε d. h. die Feldherrn. — 6) und sie sollten sich erinnern, daß alles auf dem Spiele stehe, wenn der Einzelne seine Pflicht vernachlässige, alles aber gewonnen sey, sobald jeder Pünktlichkeit in der Ausführung beobachte. —

τε καὶ ἀντιπαρακληθεὶς πρὸς τῶν ἡγεμόνων, θαῤῥεῖ. Ἐπὶ τούτοις [7]) δειπνοποιεῖσθαί τε καὶ ἀναπαύεσθαι ἐκέλευσε τὸν στρατόν. Παρμενίων δὲ λέγουσιν ὅτι ἀφικόμενος παρ' αὐτὸν ἐπὶ τὴν σκηνὴν, νύκτωρ [8]) παρῄνει ἐπιθέσθαι τοῖς Πέρσαις· ἀπροσδοκήτοις τε γὰρ καὶ ἀνατεταραγμένοις, καὶ ἅμα ἐν νυκτὶ φοβερωτέροις ἐπιθήσεσθαι. Ὁ δὲ ἐκείνῳ μὲν ἀποκρίνεται (ὅτι καὶ ἄλλοι [9]) κατήκουον τῶν λόγων) αἰσχρὸν εἶναι κλέψαι τὴν νίκην, ἀλλὰ φανερῶς καὶ ἄνευ σοφίσματος χρῆναι νικῆσαι Ἀλέξανδρον. Καὶ τὸ μεγαλήγορον αὐτοῦ τοῦτο, οὐχ ὑπέρογκον μᾶλλόν τι, ἢ εὐθαρσὲς ἐν τοῖς κινδύνοις [10]) ἐφαίνετο.

Δαρεῖος δὲ καὶ ὁ ξὺν Δαρείῳ στρατὸς, οὕτως ὅπως τὴν ἀρχὴν ἐτάξαντο, ἔμειναν τῆς νυκτὸς ξυντεταγμένοι· ὅτι οὔτε στρατόπεδον αὐτοῖς περιεβέβλητο [11]) ἀκριβὲς, καὶ ἅμα ἐφοβοῦντο, μὴ σφίσι νύκτωρ ἐπιθοῖντο οἱ πολέμιοι. Καὶ εἴπέρ τι ἄλλο, καὶ τοῦτο ἐκάκωσε [12]) τοῖς Πέρσαις ἐν τῷ τότε τὰ πράγματα, ἡ στάσις ἡ πολλὴ ἡ ξὺν τοῖς ὅπλοις, καὶ τὸ δέος, (ὅ, τι περ φιλεῖ πρὸ τῶν μεγάλων κινδύνων γίγνεσθαι), οὐκ ἐκ τοῦ παραυτίκα σχεδιασθὲν, ἀλλ' ἐν πολλῷ χρόνῳ μελετηθέν τε καὶ τὴν γνώμην αὐτοῖς δουλωσάμενον. Ἐτάχθη δὲ αὐτῷ ἡ στρατιὰ ὧδε· ἑάλω γὰρ ὕστερον ἡ τάξις, ἥντινα ἔταξε Δαρεῖος, γεγραμμένη [13]), ὡς λέγει Ἀριστόβουλος. Τὸ μὲν εὐώνυμον αὐτοῦ κέρας οἵ τε Βάκτριοι ἱππεῖς εἶχον, καὶ ξὺν τούτοις Δάαι [14]), καὶ Ἀραχῶτοι· ἐπὶ δὲ τούτοις Πέρσαι ἐτετάχατο, ἱππεῖς τε ὁμοῦ καὶ πεζοὶ ἀναμεμιγμένοι, καὶ Σούσιοι ἐπὶ Πέρσαις, ἐπὶ δὲ Σουσίοις Καδούσιοι. Αὕτη μὲν ἡ τοῦ εὐωνύμου κέρως, ἔς τε ἐπὶ τὸ μέσον τῆς πάσης φάλαγγος, τάξις ἦν. Κατὰ δὲ τὸ δεξιὸν, οἵ τε ἐκ κοίλης Συρίας, καὶ οἱ ἐκ τῆς μέσης τῶν ποταμῶν ἐτετάχατο· καὶ Μῆδοι ἔτι κατὰ τὸ δεξιόν· ἐπὶ δὲ, Παρθυαῖοι καὶ Σάκαι· ἐπὶ δὲ Τάπουροι καὶ Ὑρκάνιοι· ἐπὶ δὲ, Ἀλβανοὶ καὶ Σακεσίναι· οὗτοι μὲν ἔς τε ἐπὶ

---

7) post haec. — 8) beziehe auf ἐπιθέσθαι. — 9) weil auch andere diese Reden hörten. Arrian scheint hinzudeuten, Alexander würde vielleicht, wenn er allein gewesen wäre, mehr Gebrauch von dem Rathe des Parmenion gemacht haben. — 10) st. εἰς τοὺς κινδύνους. — d. h. und diese glänzende Aeußerung scheint nicht so fast aus hohem Sinne, als aus Verachtung jeder Gefahr entstanden zu seyn. — 11) ἀκριβὲς gehört zu στρατόπεδον. Weil sie von keinem befestigten Lager umgeben waren. — 12) τοῦτο bezieht sich auf ἡ στάσις und τὸ δέος. — 13) i. e. ein schriftliches Verzeichniß. — 14) Die Daer aus der Gegend des caspischen Meeres. τὸ μέσον bedeutet hier die Mitte der Schlachtlinie, φάλαγξ aber die

τὸ μέσον τῆς πάσης φάλαγγος. Κατὰ μέσον δὲ, ἵνα ἦν βασιλεὺς Δαρεῖος, οἵ τε συγγενεῖς [15]) τοῦ βασιλέως ἐτετάχατο, καὶ οἱ μηλοφόροι Πέρσαι, καὶ Ἰνδοὶ, καὶ Κᾶρες οἱ ἀνάσπαστοι καλούμενοι, καὶ οἱ Μάρδοι τοξόται. Οὔξιοι δὲ, καὶ Βαβυλώνιοι, καὶ οἱ πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ, καὶ Σιτακινοὶ, ἐς βάθος [16]) ἐπιτεταγμένοι ἦσαν. Προετετάχατο δὲ ἐπὶ μὲν τοῦ εὐωνύμου, κατὰ τὸ δεξιὸν τοῦ Ἀλεξάνδρου, οἵ τε Σκύθαι ἱππεῖς, καὶ τῶν Βακτριανῶν ἐς χιλίους, καὶ ἅρματα δρεπανηφόρα ἑκατόν. Οἱ δὲ ἐλέφαντες ἔστησαν κατὰ τὴν [Δαρείου] ἴλην τὴν βασιλικὴν, καὶ ἅρματα ἐς πεντήκοντα. Τοῦ δὲ δεξιοῦ οἵ τε Ἀρμενίων καὶ Καππαδοκῶν ἱππεῖς προετετάχατο, καὶ ἅρματα δρεπανηφόρα πεντήκοντα. Οἱ δὲ Ἕλληνες οἱ μισθοφόροι παρὰ Δαρεῖόν τε αὐτὸν ἑκατέρωθεν, καὶ τοὺς ἅμα αὐτῷ Πέρσας, κατὰ τὴν φάλαγγα αὐτὴν τῶν Μακεδόνων, ὡς μόνοι δὴ ἀντίῤῥοποι τῇ φάλαγγι, ἐτάχθησαν. Ἀλεξάνδρῳ δὲ ἡ στρατιὰ ἐκοσμήθη ὧδε. Τὸ μὲν δεξιὸν αὐτῷ εἶχον τῶν ἱππέων οἱ ἑταῖροι, ὧν προετέτακτο ἡ ἴλη ἡ βασιλικὴ, ἧς Κλεῖτος ὁ Δρωπίδου ἰλάρχης ἦν. ἐπὶ δὲ ταύτῃ, ἡ Γλαυκίου ἴλη. ἐχομένη δ᾽ αὐτῆς, ἡ τοῦ Ἀρίστωνος· ἐπὶ δὲ ἡ Σωπόλιδος τοῦ Ἑρμοδώρου· ἐπὶ δὲ, Ἡρακλείδου τοῦ Ἀντιόχου· ἐπὶ ταύτῃ δὲ, ἡ Δημητρίου τοῦ Ἀλθαιμένους· ταύτης δὲ ἐχομένη, ἡ Μελεάγρου· τελευταία δὲ τῶν βασιλικῶν ἰλῶν, ἧς Ἡγέλοχος ὁ Ἱπποστράτου ἰλάρχης ἦν. Ξυμπάσης δὲ τῆς ἵππου τῶν ἑταίρων Φιλώτας ἦρχεν ὁ Παρμενίωνος. Τῆς δὲ φάλαγγος [17]) τῶν Μακεδόνων ἐχόμενον τῶν ἱππέων πρῶτον τὸ ἄγημα ἐτέτακτο τῶν ὑπασπιστῶν, καὶ ἐπὶ τούτῳ οἱ ἄλλοι ὑπασπισταί· ἡγεῖτο δὲ αὐτῶν Νικάνωρ ὁ Παρμενίωνος· τούτων δὲ ἐχομένη ἡ Κοίνου τοῦ Πολεμοκράτους τάξις ἦν· μετὰ δὲ τούτους, ἡ Περδίκκου τοῦ Ὀρόντου, ἔπειτα ἡ Μελεάγρου τοῦ Νεοπτολέμου, ἐπὶ δὲ ἡ Πολυσπέρχοντος τοῦ Σιμμίου. ἐπὶ δὲ ἡ Ἀμύντου τοῦ Ἀνδρομένους· ταύτης δὲ ἡγεῖτο Σιμμίας, ὅτι Ἀμύντας ἐπὶ Μακεδονίας ἐς ξυλλογὴν στρατιᾶς ἐσταλμένος ἦν· τὸ δὲ εὐώνυμον τῆς φάλαγγος τῶν Μακεδόνων ἡ Κρατεροῦ τοῦ Ἀλεξάνδρου τάξις εἶχε· καὶ αὐτὸς Κρατερὸς ἐξῆρχε τοῦ εὐωνύμου τῶν πεζῶν. Καὶ ἱππεῖς ἐχόμενοι αὐτοῦ [18]) οἱ ξύμμαχοι, ὧν ἡγεῖτο Ἐριγύϊος ὁ Λαρίχου. Τούτων δὲ ἐχόμενοι ὡς ἐπὶ τὸ εὐώνυμον κέρας οἱ Θεσσαλοὶ ἱππεῖς, ὧν ἦρχε Φίλιππος ὁ Μενελάου. Ξύμπαν δὲ τὸ εὐώνυμον ἦγε Παρμενίων ὁ Φιλώτα, καὶ ἀμφ᾽ αὐτὸν οἱ τῶν Φαρ-

---

ganze lange Fronte. — 15) So hießen eigentlich die Verwandten des Königs, aber es war dieß auch eine ehrenvolle Benennung für andere, die nicht verwandt waren. — 16) d. h. sie vergrößerten die Tiefe der Schlachtlinie. — 17) d. h. die Schlachtlinie der Fußgänger. — 18) sc. ἐτάχθησαν. —

σηλίων ἱππεῖς οἱ κράτιστοί τε καὶ πλεῖστοι τῆς Θεσσαλικῆς ἵππου.

Cap. III. Ἡ μὲν ἐπὶ μετώπου τάξις Ἀλεξάνδρῳ ὧδε κεκόσμητο. Ἐπέταξε δὲ καὶ δευτέραν τάξιν, ὡς εἶναι τὴν φάλαγγα ἀμφίστομον 19). καὶ παρήγγελτο τοῖς ἡγεμόσι τῶν ἐπιτεταγμένων, εἰ κυκλουμένους τοὺς σφῶν ὑπὸ τοῦ Περσικοῦ στρατεύματος κατίδοιεν, ἐπιστρέψαντας ἐς τὸ ἔμπαλιν δέχεσθαι τοὺς βαρβάρους· ἐς ἐπικαμπὴν δὲ, (εἴπου ἀνάγκη καταλαμβάνοι, ἢ ἀναπτύξαι ἢ ξυγκλεῖσαι τὴν φάλαγγα), κατὰ μὲν τὸ δεξιὸν κέρας ἐχόμενοι τῆς βασιλικῆς ἴλης τῶν Ἀγριάνων ἐτάχθησαν οἱ ἡμίσεες, ὧν ἡγεῖτο Ἄτταλος, καὶ μετὰ τούτων οἱ Μακεδόνες οἱ τοξόται, ὧν Βρίσων ἦρχεν· ἐχόμενοι δὲ τῶν τοξοτῶν, οἱ ἀρχαῖοι καλούμενοι ξένοι, καὶ ἄρχων τούτων Κλέανδρος. Προετάχθησαν δὲ τῶν τε Ἀγριάνων καὶ τῶν τοξοτῶν οἵ τε πρόδρομοι καὶ οἱ Παίονες, ὧν Ἀρέτης καὶ Ἀρίστων ἡγοῦντο. Ξυμπάντων δὲ προτεταγμένοι ἦσαν οἱ μισθοφόροι ἱππεῖς, ὧν Μενίδας ἦρχε. Τῆς δὲ βασιλικῆς ἴλης καὶ τῶν ἄλλων ἑταίρων προτεταγμένοι ἦσαν τῶν τε Ἀγριάνων καὶ τῶν τοξοτῶν οἱ ἡμίσεες, καὶ οἱ Βαλάκρου ἀκοντισταί· οὗτοι κατὰ ἅρματα δρεπανηφόρα ἐτετάχατο. Μενίδᾳ δὲ καὶ τοῖς ἀμφ' αὐτὸν παρήγγελτο, εἰ περιϊππεύοιεν οἱ πολέμιοι τὸ κέρας σφῶν, ἐς πλαγίους ἐμβάλλειν αὐτοὺς ἐπικάμψαντας. Τὰ μὲν ἐπὶ τοῦ δεξιοῦ κέρως οὕτως ἐτέτακτο Ἀλεξάνδρῳ. Κατὰ δὲ τὸ εὐώνυμον, ἐς ἐπικαμπὴν, οἵ τε Θρᾷκες ἐτετάχατο, ὧν ἡγεῖτο Σιτάλκης. Καὶ ἐπὶ τούτοις οἱ ξύμμαχοι ἱππεῖς, ὧν ἦρχε Κοίρανος. Ἐπὶ δὲ οἱ Ὀδρύσαι ἱππεῖς, ὧν ἡγεῖτο Ἀγάθων ὁ Τυρίμμα. Ξυμπάντων δὲ ταύτῃ προετάχθη ἡ ξενικὴ ἵππος ἡ τῶν μισθοφόρων, ὧν Ἀνδρόμαχος ὁ Ἱέρωνος ἦρχεν. Ἐπὶ δὲ τοῖς σκευοφόροις, οἱ ἀπὸ Θρᾴκης πεζοὶ ἐς φυλακὴν ἐτάχθησαν. Ἡ πᾶσα δὲ στρατιὰ Ἀλεξάνδρου, ἱππεῖς μὲν ἐς ἑπτακισχιλίους, πεζοὶ δὲ ἀμφὶ τὰς τέσσαρας 20) μυριάδας.

---

19) sieh oben. — 20) Die Ordnung der Macedonier in der Schlacht war folgende: auf der Fronte von der Rechten zur Linken sind die ersten 1) die balakrischen Schleuderer. 2) Die Hälfte der Bogenschützen und Schleuderer. 3) Die auserlesenen Reiter unter Philotas, und zwar die Schwadron des Klitus, Glaukias, Ariston, Sopolides, Heraklidas, Demetrius, Meleager und Hegelochus. 4) Der Heerzug der Fußgänger und 5) die übrigen Hypaspisten unter Nikanor. Bis hieher erstreckte sich der rechte Flügel, den Alexander kommandirte. Zu dem linken Flügel unter Parmenions Kommando gehören 6) die Pezetären unter Craterus und zwar

Cap. IV. Ὡς δὲ ὁμοῦ ἤδη τὰ στρατόπεδα ἐγίγνετο, ὤφθη Δαρεῖος, καὶ οἱ ἀμφ' αὐτὸν, οἵ τε μηλοφόροι Πέρσαι, καὶ Ἰνδοὶ, καὶ Ἀλβανοὶ, καὶ Κᾶρες οἱ ἀνάσπαστοι, καὶ οἱ Μάρδοι τοξόται κατ' αὐτὸν Ἀλέξανδρον τεταγμένοι καὶ τὴν ἴλην τὴν βασιλικήν. Ἦγε δὲ ὡς ἐπὶ τὸ δεξιὸν [21]) τὸ αὐτοῦ Ἀλέξανδρος μᾶλλον, καὶ οἱ Πέρσαι ἀντιπαρῆγον, ὑπερφαλαγγοῦντες πολὺ ἐπὶ τῷ σφῶν εὐωνύμῳ. Ἤδη τε οἱ τῶν Σκυθῶν ἱππεῖς παριππεύοντες ἥπτοντο τῶν προτεταγμένων [22]) τῆς Ἀλεξάνδρου τάξεως· καὶ Ἀλέξανδρος ἔτι ὅμως ἦγεν ἐπὶ δόρυ, καὶ ἐγγὺς ἦν [23]) τοῦ ἐξαλλάσσειν τὸν ὡδοπεποιημένον πρὸς τῶν Περσῶν χῶρον. Ἔνθα δὴ δείσας Δαρεῖος, μὴ, προχωρησάντων ἐς τὰ οὐχ ὁμαλὰ τῶν Μακεδόνων, ἀχρεῖα σφίσι γένηται τὰ ἅρματα, κελεύει τοὺς προτεταγμένους τοῦ εὐωνύμου [24]) περιϊππεύειν τὸ κέρας τὸ δεξιὸν [25]), ᾗ Ἀλέξανδρος ἦγε, τοῦ μηκέτι προσωτέρω αὐτοὺς ἐξάγειν τὸ κέρας. Τούτου δὲ γενομένου, Ἀλέξανδρος

---

die Abtheilung des Cönus, Perdikkas, Meleager, Polysperchon, Amyntas, (die sein Bruder Simmias führte) und Craterus. 7) Die Reiter der übrigen Bundesgenossen unter Erigyius und 8) der Thessaler unter Philippus. — Den letzten Reihen dieser Truppen war der Auftrag gegeben, daß sie, sobald sie den Feind im Rücken sähen, sich gegen ihn wenden sollten. — Auf den Flügeln aber, und zwar auf der Seite der ersten Reiterschaar waren aufgestellt 1) die Hälfte der Agrianer unter Attalus, 2) die übrigen Bogenschützen unter Brison, 3) die Reiter unter Cleander, 4) die Päoner und Vorläufer unter Ariston und Aretes, und 5) die berittenen Söldner unter Menidas; auf Seite der Thessaler standen 1) die thracischen Schleuderer unter Sitalkes, 2) die Reiterei des Cöranus, 3) die Odrysen unter Agathon, 4) die Reiterei des Andromachus. — 21) Alexander stellte seine Truppen in schiefer Schlachtlinie, und rückte nach der rechten Seite hin vor, in der Absicht, daß er mit Uebergehung des linken feindlichen Flügels, den Darius von der Seite her mit seiner besten Reiterei angreifen konnte. Als aber Darius dieß bemerkte, so führte er seine Leute gleichfalls dem Alexander entgegen, daher begann das Treffen auf dem rechten Flügel Alexanders. — 22) d. h. die Hälfte der Agrianer und Bogenschützen und die balakrischen Schleuderer. — 23) Er war schon nahe daran, über den von den Persern geebneten Weg hinaus zu kommen. — 24) d. h. der Perser. — 25) nemlich der Macedonier. —

ἐμβάλλειν κελεύει ἐς αὐτοὺς, τοὺς μισθοφόρους ἱππέας, ὧν ἡγεῖτο Μενίδας· ἀντεκδραμόντες δὲ ἐπ' αὐτοὺς οἵ τε Σκύθαι ἱππεῖς καὶ τῶν Βακτρίων οἱ ξυντεταγμένοι τοῖς Σκύθαις, ἐκθλίβουσιν ὀλίγους ὄντας πολλῷ πλείονες. Ἀλέξανδρος δὲ τοὺς περὶ Ἀρίστωνά τε Παίονας καὶ τοὺς ξένους 26) ἐμβαλεῖν τοῖς Σκύθαις ἐκέλευσε· καὶ ἐγκλίνουσιν οἱ βάρβαροι. Βάκτριοι δὲ οἱ ἄλλοι πελάσαντες τοῖς Παίοσί τε καὶ ξένοις, τούς τε σφῶν φεύγοντας ἤδη ἀνέτρεψαν ἐς τὴν μάχην, καὶ τὴν ἱππομαχίαν ξυστῆναι ἐποίησαν· καὶ ἔπιπτον μὲν πλείονες τῶν Ἀλεξάνδρου, τῷ τε πλήθει τῶν βαρβάρων βιαζόμενοι, καὶ ὅτι αὐτοί τε οἱ Σκύθαι καὶ οἱ ἵπποι αὐτοῖς ἀκριβέστερον ἐς φυλακὴν πεφραγμένοι 27) ἦσαν. Ἀλλὰ καὶ ὣς τάς τε προσβολὰς αὐτῶν ἐδέχοντο οἱ Μακεδόνες, καὶ βίᾳ 28) κατ' ἴλας προσπίπτοντες ἐξώθουν 29) ἐκ τῆς τάξεως. Καὶ ἐν τούτῳ τὰ ἅρματα τὰ δρεπανηφόρα ἐφῆκαν οἱ βάρβαροι κατ' αὐτὸν Ἀλέξανδρον, ὡς ἀναταράξαντες αὐτῷ τὴν φάλαγγα· καὶ ταύτῃ μάλιστα ἐψεύσθησαν. Τὰ μὲν γὰρ εὐθὺς ὡς προσεφέρετο, κατηκόντισαν οἵ τε Ἀγριᾶνες, καὶ οἱ ξὺν Βαλάκρῳ ἀκοντισταὶ, οἱ προτεταγμένοι τῆς ἵππου τῶν ἑταίρων· τὰ δὲ τῶν ῥυτήρων ἀντιλαμβανόμενοι, τούς τε ἀναβάτας κατέσπων, καὶ τοὺς ἵππους περιϊστάμενοι ἔκοπτον· ἔστι δὲ ἃ καὶ διεξέπεσε διὰ τῶν τάξεων· διέσχον γὰρ, ὥσπερ παρήγγελτο αὐτοῖς, ἵνα προσέπιπτε τὰ ἅρματα· καὶ ταύτῃ μάλιστά ξυνέβη αὐτά τε σῶα, καὶ οἷς ἐπηλάθη, ἀβλαβεῖς διελθεῖν· ἀλλὰ καὶ τούτων οἵ τε ἱπποκόμοι τῆς Ἀλεξάνδρου στρατιᾶς, καὶ οἱ ὑπασπισταὶ οἱ βασιλικοὶ ἐκράτησαν.

Cap. V. Ὡς δὲ Δαρεῖος ἐπῆγεν ἤδη τὴν φάλαγγα πᾶσαν, ἐνταῦθα Ἀλέξανδρος Ἀρέτην μὲν κελεύει ἐμβαλεῖν τοῖς περιϊππεύουσι τὸ κέρας σφῶν τὸ δεξιὸν ὡς ἐς κύκλωσιν· αὐτὸς δὲ τέως μὲν ἐπὶ κέρως τοὺς ἀμφ' αὐτὸν ἦγε. Τῶν δὲ ἐκβοηθησάντων 30) ἱππέων τοῖς κυκλουμένοις τὸ κέρας τὸ δεξιὸν παραῤῥηξάντων τὶ τῆς πρώτης φάλαγγος τῶν βαρβάρων, ἐπιστρέψας 31) κατὰ τὸ διέχον, καὶ ὥσπερ ἔμβολον ποιήσας τῆς τε ἵππου τῆς

---

26) des Cleander. — 27) die persischen Reiter und Pferde hatten eiserne schuppenartige Panzer. — 28) und da sie schwadronenweise mit aller Heftigkeit eindrangen, so warfen sie dieselben zurück. — 29) sc. αὐτούς. — 30) als aber jene persischen Reiter, welche den ihrigen bei Ueberflüglung des macedonischen rechten Flügels zu Hülfe kamen, die Fronte etwas in Unordnung gebracht hatten, weil die übrigen nicht nachfolgten, und daher eine Lücke in der persischen Fronte entstand rc. — 31) sc. Ἀλέξανδρος. —

ἑταιρικῆς καὶ τῆς φάλαγγος τῆς ταύτῃ τεταγμένης, ἦγε δρόμῳ τε καὶ ἀλαλαγμῷ ὡς ἐπὶ αὐτὸν Δαρεῖον. Καὶ χρόνον μέν τινα ὀλίγον ἐν χερσὶν ἡ μάχη ἐγένετο. Ὡς δὲ οἵ τε ἱππεῖς οἱ ἀμφ' Ἀλέξανδρον καὶ αὐτὸς Ἀλέξανδρος εὐρώστως ἐνέκειντο, ὠθισμοῖς τε χρώμενοι, καὶ τοῖς ξυστοῖς τὰ πρόσωπα τῶν Περσῶν κόπτοντες, ἥ τε φάλαγξ ἡ Μακεδονικὴ πυκνὴ καὶ ταῖς σαρίσσαις πεφρικυῖα, ἐμβέβληκεν ἤδη αὐτοῖς, καὶ πάντα ὁμοῦ τὰ δεινὰ καὶ πάλαι ἤδη φοβερῷ ὄντι Δαρείῳ ἐφαίνετο, πρῶτος αὐτὸς ἐπιστρέψας ἔφευγεν· ἐφοβήθησαν δὲ καὶ οἱ περιϊππεύοντες τῶν Περσῶν τὸ κέρας [32]), ἐμβαλόντων ἐς αὐτοὺς εὐρώστως τῶν περὶ Ἀρέτην. Ταύτῃ μὲν δὴ τῶν Περσῶν φυγὴ καρτερὰ ἦν· καὶ οἱ Μακεδόνες ἐφεπόμενοι ἐφόνευον τοὺς φεύγοντας. Οἱ δὲ ἀμφὶ Σιμμίαν καὶ ἡ τούτου τάξις οὐκέτι συνεξορμῆσαι Ἀλεξάνδρῳ δυνατοὶ ἐγένοντο ἐς τὴν δίωξιν, ἀλλ' ἐπιστήσαντες τὴν φάλαγγα αὐτοῦ, ἠγωνίζοντο, ὅτι τὸ εὐώνυμον τῶν Μακεδόνων πονεῖσθαι ἠγγέλλετο. Καὶ ταύτῃ παραῤῥαγείσης αὐτοῖς τῆς τάξεως, κατὰ τὸ διέχον διεκπαίουσιν τῶν τε Ἰνδῶν τινες καὶ τῆς Περσικῆς ἵππου, ὡς ἐπὶ τὰ σκευοφόρα τῶν Μακεδόνων· καὶ τὸ ἔργον ἐκεῖ καρτερὸν ἐγίγνετο. Οἵ τε γὰρ Πέρσαι θρασέως ἐνέκειντο ἀνόπλοις τοῖς πολλοῖς, καὶ οὐ προσδοκήσασιν ἐπὶ σφᾶς διεκπεσεῖσθαι [33]) τινάς, διακόψαντας διπλῆν τὴν φάλαγγα· καὶ οἱ αἰχμάλωτοι βάρβαροι, ἐμβαλλόντων τῶν Περσῶν, ξυνεπέθεντο καὶ αὐτοὶ τοῖς Μακεδόσιν ἐν τῷ ἔργῳ. Τῶν δ' ἐπιτεταγμένων ἐπὶ τῇ πρώτῃ φάλαγγι ἡγεμόνες ὀξέως, μαθόντες τὸ γινόμενον, μεταβαλόντες (ᾗπερ παρήγγελτο αὐτοῖς) τὴν τάξιν, ἐπιγίγνονται κατὰ νώτου τοῖς Πέρσαις, καὶ πολλοὺς μὲν αὐτῶν αὐτοῦ ἀμφὶ τοῖς σκευοφόροις ξυνεχομένους ἀπέκτειναν· οἱ δὲ αὐτῶν ἐγκλίναντες, ἔφευγον. Οἱ δὲ ἐπὶ τοῦ δεξιοῦ κέρως τῶν Περσῶν, οὔπω τῆς φυγῆς τῆς Δαρείου ᾐσθημένοι, περιϊππεύσαντες τὸ Ἀλεξάνδρου εὐώνυμον, κατὰ κέρας τοῖς ἀμφὶ τὸν Παρμενίωνα ἐνέβαλον.

Cap. VI. Καὶ ἐν τούτῳ ἀμφιβόλων τὰ πρῶτα γενομένων τῶν Μακεδόνων, πέμπει Παρμενίων παρ' Ἀλέξανδρον σπουδῇ ἀγγελοῦντα, ὅτι ἐν ἀγῶνι ξυνέχεται τὸ κατὰ σφᾶς, καὶ βοηθεῖν δεῖ. Ταῦτα ὡς ἐξηγγέλθη Ἀλεξάνδρῳ, τοῦ μὲν διώκειν ἔτι ἀπετράπετο· ἐπιστρέψας δὲ ξὺν τῇ ἵππῳ τῶν ἑταίρων, ὡς ἐπὶ τὸ δεξιὸν τῶν βαρβάρων ἦγε δρόμῳ. Καὶ πρῶτα μὲν τοῖς φεύ-

---

32) nemlich der rechte Flügel Alexanders. — 33) daß einige auf sie hineindringen würden. —

γουσι [34]) τῶν πολεμίων ἱππεῦσι, τοῖς τε Παρθυαίοις, καὶ τῶν Ἰνδῶν ἔστιν οἷς, καὶ Πέρσαις τοῖς πλείστοις καὶ κρατίστοις ἐμβάλλει· καὶ ἱππομαχία αὕτη καρτερωτάτη τοῦ παντὸς ἔργου ξυνέστη. Ἐς βάθος τε γὰρ οἷα δὴ ἰλαδὸν τεταγμένοι, ἀνέστρεφον οἱ βάρβαροι, καὶ ἀντιμέτωποι τοῖς ἀμφ᾽ Ἀλέξανδρον ξυμπεσόντες, οὔτε ἀκοντισμῷ ἔτι, οὔτ᾽ ἐξελιγμοῖς τῶν ἵππων, ἥπερ ἱππομαχίας δίκη, ἐχρῶντο, ἀλλὰ διεκπαῖσαι πᾶς τις τὸ καθ᾽ αὐτὸν, ὡς μόνην ταύτην σωτηρίαν οὖσαν ἐπειγόμενοι, ἔκοπτόν τε καὶ ἐκόπτοντο ἀφειδῶς, οἷα δὴ οὐχ᾽ ὑπὲρ νίκης ἀλλοτρίας ἔτι, ἀλλ᾽ ὑπὲρ σωτηρίας οἰκείας ἀγωνιζόμενοι· καὶ ἐνταῦθα μὲν πίπτουσιν ἀμφὶ ἑξήκοντα τῶν ἑταίρων τοῦ Ἀλεξάνδρου, καὶ τιτρώσκεται Ἡφαιστίων τε αὐτὸς καὶ Κοῖνος, καὶ Μενίδας. Ἀλλ᾽ ἐκράτησε καὶ τούτων Ἀλέξανδρος. Καὶ τούτων μὲν ὅσοι διεξέπεσον διὰ τῶν ἀμφ᾽ Ἀλέξανδρον, ἔφευγον ἤδη ἀνὰ κράτος. Ἀλέξανδρος δὲ ἐγγὺς ἦν προσμίξαι ἤδη τῷ δεξιῷ κέρατι τῶν πολεμίων. Καὶ ἐν τούτῳ οἱ Θεσσαλοὶ ἱππεῖς, λαμπρῶς ἀγωνισάμενοι, οὐχ ὑπελείποντο Ἀλεξάνδρῳ τοῦ [35]) ἔργου· ἀλλὰ γὰρ ἔφευγον ἤδη οἱ ἀπὸ τοῦ δεξιοῦ κέρως τῶν βαρβάρων, ὁπότε Ἀλέξανδρος αὐτοῖς συνέμιξεν· ὥς τε ἀποτραπόμενος Ἀλέξανδρος, ἐς τὸ διώκειν αὖθις Δαρεῖον ἐξώρμησε, καὶ ἐδίωξεν ἔς τε φάος ἦν· καὶ οἱ ἀμφὶ Παρμενίωνα τὸ κατ᾽ αὐτοὺς διώκοντες εἵποντο. Ἀλλὰ Ἀλέξανδρος μὲν διαβὰς τὸν ποταμὸν τὸν Λύκον [36]), κατεστρατοπέδευσεν αὐτοῦ, ὡς ἀναπαῦσαι ὀλίγον τούς τε ἄνδρας καὶ τοὺς ἵππους. Παρμενίων δὲ τό τε στρατόπεδον τῶν βαρβάρων εἷλε, καὶ τὰ σκευοφόρα, καὶ τοὺς ἐλέφαντας, καὶ τὰς καμήλους. Ἀλέξανδρος δὲ ἀναπαύσας τοὺς ἀμφ᾽ αὐτὸν ἱππέας ἔς τε ἐπὶ μέσας νύκτας, προὐχώρει αὖθις κατὰ σπουδὴν ἐπ᾽ Ἄρβηλα, ὡς Δαρεῖόν τε αἱρήσων ἐκεῖ, καὶ τὰ χρήματα, καὶ τὴν ἄλλην κατασκευὴν τὴν βασιλικήν. Καὶ ἀφίκετο εἰς Ἄρβηλα τῇ ὑστεραίᾳ, διώξας τοὺς πάντας [37]) ἐκ τῆς μάχης σταδίους μάλιστα ἐς ἑξακοσίους. Καὶ Δαρεῖον μὲν οὐ καταλαμβάνει ἐν Ἀρβήλοις, ἀλλ᾽ ἔφευγεν οὐδέν τι ἐλινύσας Δαρεῖος· τὰ χρήματα δὲ ἐγκατελήφθη, καὶ ἡ κατασκευὴ πᾶσα· καὶ τὸ ἅρμα τὸ Δαρείου αὖθις ἐγκατελήφθη

---

34) d. h. diejenigen des persischen Heeres, welche durch die durchbrochene Schlachtlinie auf die Bedeckung des Gepäckes einen Angriff gemacht hatten. — Jetzt fielen ihnen die Reservtruppen in den Rücken, und Alexander griff sie mit der Reiterei vorne an, sie konnten also nur einen Ausweg durch eine der beiden Schlachtlinien suchen. — 35) sc. τι. — 36) er ergießt sich in den Tigris. — 37) beziehe auf σταδίους. —

καὶ ἡ ἀσπὶς αὖθις, καὶ τὰ τόξα ἑάλω. Ἀπέθανον δὲ τῶν ἀμφ' Ἀλέξανδρον, ἄνδρες μὲν ἐς ἑκατὸν μάλιστα· ἵπποι δὲ ἔκ τε τῶν τραυμάτων καὶ τῆς κακοπαθείας τῆς ἐν τῇ διώξει, ὑπὲρ τοὺς χιλίους, καὶ τούτων τῆς ἑταιρικῆς ἵππου σχεδόν τι οἱ ἡμίσεες. Τῶν βαρβάρων δὲ νεκρῶν μὲν ἐλέγοντο ἐς τριάκοντα μυριάδας· ἑάλωσαν δὲ πολλῷ πλείονες τῶν ἀποθανόντων, καὶ οἱ ἐλέφαντες, καὶ τῶν ἁρμάτων ὅσα μὴ κατεκόπη ἐν τῇ μάχῃ. Τοῦτο τέλος τῇ μάχῃ ταύτῃ ἐγένετο, ἐπὶ ἄρχοντος Ἀθηναίοις Ἀριστοφάνους, μηνὸς Πυανεψιῶνος· καὶ Ἀριστάνδρῳ ξυνέβη ἡ μαντεία ἐν τῷ αὐτῷ μηνὶ ἐν ὅτῳ ἡ σελήνη ἐκλιπὴς ἐφάνη, τήν τε μάχην Ἀλεξάνδρῳ καὶ τὴν νίκην γενέσθαι.

V.

Die Belagerung von Tyrus.

Cap. I. *Μέγα ἔργον τῆς Τύρου ἡ πολιορκία ἐφαίνετο. Νῆσός τε γὰρ αὐτοῖς* [1]) *ἡ πόλις ἦν, καί τείχεσιν ὑψηλοῖς πάντῃ ὠχύρωτο· καὶ τὰ ἀπὸ θαλάσσης πρὸς* [2]) *τῶν Τυρίων μᾶλλόν τε ἐν τῷ τότε ἐφαίνετο, τῶν τε Περσῶν ἔτι θαλασσοκρατούντων, καὶ αὐτοῖς τοῖς Τυρίοις νεῶν ἔτι πολλῶν περιουσῶν. Ὡς δὲ ταῦτα ὅμως* [3]) *ἐκράτησε, χῶμα ἔγνω χωννύναι ἐκ τῆς ἠπείρου ὡς ἐπὶ τὴν πόλιν. Ἔστι δὲ πορθμὸς τεναγώδης τὸ χωρίον, καὶ τὰ μὲν πρὸς τῇ ἠπείρῳ τῆς θαλάσσης βραχέα καὶ πηλώδη αὐτοῦ· τὰ δὲ πρὸς αὐτῇ τῇ πόλει, ἵνα τὸ βαθύτατον τοῦ διάπλου, τριῶν μάλιστα ὀργυιῶν τὸ βάθος. Ἀλλὰ λίθων* [4]) *τε πολλῶν ἀφθονία ἦν, καὶ ὕλης, ἥν τινα τοῖς λίθοις ἄνωθεν ἐπεφόρουν. Χάρακές τε οὐ χαλεπῶς ἐν τῷ πηλῷ κατεπήγνυντο, καὶ αὐτὸς ὁ πηλὸς ξύνδεσμος* [5]) *τοῖς λίθοις ἐς τὸ ἐπιμένειν ἐγίγνετο. Καὶ προθυμία τῶν Μακεδόνων εἰς τὸ ἔργον καὶ Ἀλεξάνδρου πολλὴ ἦν, παρόντος τε καὶ αὐτοῦ ἕκαστα ἐξηγουμένου, καὶ τὰ μὲν λόγῳ* [6]) *ἐπαίροντος, τὰ δὲ καὶ χρήμασιν· τούς τε ἐκπρεπέστερον*

V.

Die Belagerung von Tyrus.

1) sc. *Τυρίοις*, als ob nicht *τῆς Τύρου*, sondern *Τυρίων* vorhergegangen wäre. §. 196, 2. — 2) pro Tyriis. — 3) als aber diese Meinung doch durchdrang. — 4) Magna vis saxorum ad manum erat, Tyro vetere praebente, materia ex Libano monte ratibus et turribus faciendis advehebatur. Curt. — 5) st. *ξὺν τοῖς λίθοις δεσμὸς ἐγίγνετο*. — 6) d. h. einige Werkmacher spornte er durch Belobung, andere durch gegebenes oder versprochenes Geld

κατ' ἀρετὴν πονουμένους ἐπικουφίζοντος. Ἀλλ' ἔστε μὲν τὸ πρὸς τῇ ἠπείρῳ ἐχώννυτο, οὐ χαλεπῶς προὐχώρει τὸ ἔργον, ἐπὶ βάθος τε ὀλίγον χωννύμενον, καὶ οὐδενὸς ἐξείργοντος. Ὡς δὲ τῷ βαθυτέρῳ ἤδη ἐπέλαζον, καὶ ἅμα τῇ πόλει αὐτῇ ἐγγὺς ἐγίγνοντο, ἀπό τε τῶν τειχῶν, ὑψηλῶν ὄντων, βαλλόμενοι ἐκακοπάθουν, ἅ τε καὶ ἐπ' ἐργασίᾳ μᾶλλόν τι ἢ ὡς ἐς μάχην ἀκριβῶς ἐσταλμένοι· καὶ ταῖς τριήρεσιν ἄλλῃ καὶ ἄλλῃ τοῦ χώματος ἐπιπλέοντες οἱ Τύριοι, ἅ τε δὴ θαλασσοκρατοῦντες ἔτι, ἄπορον πολλαχῇ τὴν πρόσχωσιν τοῖς Μακεδόσιν ἐποίουν. Καὶ οἱ Μακεδόνες πύργους ἐπάνω τοῦ χώματος, ὅ, τι περ προκεχωρήκει αὐτοῖς ἐπὶ πολὺ τῆς θαλάσσης, ἐπέστησαν δύο, καὶ μηχανὰς ἐπὶ τοῖς πύργοις. Προκαλύμματα δὲ δέῤῥεις καὶ διφθέραι αὐτοῖς ἦσαν [7]), ὡς μήτε πυρφόροις βέλεσιν ἀπὸ τοῦ τείχους βάλλεσθαι, τοῖς τε ἐργαζομένοις προβολὴν ἐν τῷ αὐτῷ εἶναι πρὸς τὰ τοξεύματα· ἅμα τε ὅσοι προσπλέοντες τῶν Τυρίων ἔβλαπτον τοὺς χωννύντας, ἀπὸ τῶν πύργων βαλλόμενοι οὐ χαλεπῶς ἀνασταλήσεσθαι ἔμελλον. Οἱ δὲ Τύριοι πρὸς ταῦτα ἀντιμηχανῶνται τοιόνδε.

Cap. 11. Ναῦν ἱππαγωγὸν κλημάτων τε ξηρῶν καὶ ἄλλης ὕλης εὐφλέκτου ἐμπλήσαντες, δύο ἱστοὺς ἐπὶ τῇ πρώρᾳ καταπηγνύουσι, καὶ ἐν κύκλῳ περιφράσσουσιν ἐς ὅσον [8]) μακρότατον, ὡς φορυτόν τε ταύτῃ καὶ δᾷδας ὅσας πλείστας δέξασθαι. Πρὸς δὲ, πίσσαν τε καὶ θεῖον, καὶ ὅσα ἄλλα ἐς τὸ παρακαλέσαι μεγάλην φλόγα, ἐπὶ ταύτῃ [9]) ἐπεφόρησαν. Παρέτεινον δὲ καὶ κεραίαν διπλῆν ἐπὶ τοῖς ἱστοῖς ἀμφοτέροις, καὶ ἀπὸ ταύτης ἐξήρτησαν ἐν λέβησιν, ὅσα ἐπιχυθέντα ἢ ἐπιβληθέντα ἐπὶ μέγα τὴν φλόγα ἐξάψειν ἔμελλον· ἕρματά τε ἐς τὴν πρύμναν ἐνέθεσαν, τοῦ ἐξᾶραι εἰς ὕψος τὴν πρῷραν πιεζομένης κατὰ πρύμναν τῆς νεώς. Ἔπειτα ἄνεμον τηρήσαντες ὡς ἐπὶ τὸ χῶμα ἐπιφέροντα, ἐξάψαντες τριήρεσι τὴν ναῦν, κατ' οὖρον [10]) εἷλκον. Ὡς δὲ ἐπέλαζον ἤδη τῷ τε χώματι καὶ τοῖς πύργοις, πῦρ ἐμβαλόντες εἰς τὴν ὕλην, καὶ ὡς βιαιότατα ἅμα ταῖς τριήρεσιν ἐπανελκύσαντες τὴν ναῦν, ἐνσείουσιν ἄκρῳ τῷ χώματι. Αὐτοὶ δὲ οἱ ἐν τῇ νηῒ καιομένῃ ἤδη ἐξενήξαντο οὐ χαλεπῶς· καὶ ἐν τούτῳ ἥ τε φλὸξ πολλὴ ἐνέπιπτε τοῖς πύργοις, καὶ αἱ κεραῖαι περικλασθεῖ-

---

an, einige auch (τούς τε st. τινάς τε, diesem entspricht καὶ τὰ μὲν), die mit besonderer Anstrengung arbeiteten, munterte er auf, damit sie nicht muthlos würden, wenn nicht gleich alles gelänge. — 7) sc. πύργοις. — 8) i. e. περιφράσσουσιν ἐς τόσον, ἐς ὅσον δυνατοὶ περιφράσσειν. — 9) sc. πρῴρᾳ. — 10) secundo vento. —

σαι [11]) ἐξέχεαν ἐς τὸ πῦρ, ὅσα ἐς ἔξαψιν τῆς φλογὸς παρεσκευασμένα ἦν. Οἱ δὲ ἀπὸ τῶν τριηρῶν πλησίον τοῦ χώματος ἀνακωχεύοντες, ἐτόξευον ἐς τοὺς πύργους, ὡς μὴ ἀσφαλὲς εἶναι πελάσαι ὅσοι σβεστήριον τῇ φλογὶ ἐπέφερον. Καὶ ἐν τούτῳ κατεχομένων ἤδη ἐκ τοῦ πυρὸς τῶν πύργων, ἐκδραμόντες ἐκ τῆς πόλεως πολλοὶ, καὶ ἐς κελήτια ἐμβάντες, ἄλλῃ καὶ ἄλλῃ ἐποκείλαντες τοῦ χώματος, τόν τε χάρακα [12]) οὐ χαλεπῶς διέσπασαν τὸν πρὸ αὐτοῦ προβεβλημένον, καὶ τὰς μηχανὰς ξυμπάσας κατέφλεξαν, ὅσας μὴ τὸ ἀπὸ τῆς νεὼς πῦρ ἐπέσχεν. Ἀλέξανδρος δὲ τό, τε χῶμα ἀπὸ τῆς ἠπείρου ἀρξάμενος πλατύτερον χωννύναι, ὡς πλέονας δέξασθαι πύργους, καὶ τοὺς μηχανοποιοὺς μηχανὰς ἄλλας κατασκευάζειν ἐκέλευσεν. Ὡς δὲ [13]) ταῦτα παρεσκευάζετο, αὐτὸς τούς τε ὑπασπιστὰς ἀναλαβὼν καὶ τοὺς Ἀγριᾶνας ἐπὶ Σιδῶνος ἐστάλη, ὡς ἀθροίσων ἐκεῖ, ὅσαι ἤδη ἦσαν αὐτῷ τριήρεις, ὅτι ἀπορώτερα τὰ τῆς πολιορκίας ἐφαίνετο, θαλασσοκρατούντων τῶν Τυρίων.

Cap. III. Ἐν τούτῳ δὲ Γηρόστρατός τε ὁ Ἀράδου βασιλεὺς, καὶ Ἔνυλος ὁ Βύβλου, ὡς ἔμαθον τὰς πόλεις σφῶν ὑπ' Ἀλεξάνδρου ἐχομένας, ἀπολιπόντες Αὐτοφραδάτην τε καὶ τὰς ξὺν αὐτῷ νέας, παρ' Ἀλέξανδρον σὺν τῷ ναυτικῷ τῷ σφετέρῳ ἀφίκοντο, καὶ αὐτῶν Σιδωνίων τριήρεις σὺν αὐτοῖς· ὥς τε Φοινίκων μὲν νῆες ὀγδοήκοντα μάλιστα αὐτῷ παρεγένοντο. Ἧκον δὲ ἐν ταῖς αὐταῖς ἡμέραις καὶ ἐκ Ῥόδου τριήρεις. ἥ τε περίπολος [14]) καλουμένη, καὶ ξὺν ταύτῃ ἄλλαι ἐννέα. Καὶ ἐκ Σόλων καὶ Μαλλοῦ τρεῖς, καὶ Λυκίας, δέκα. Ἐκ Μακεδονίας δὲ πεντηκόντορος, ἐφ' ἧς Πρωτέας Ἀνδρονίκου ἐπέπλει. Οὐ πολλῷ δ' ὕστερον καὶ οἱ τῆς Κύπρου βασιλεῖς ἐς τὴν Σιδῶνα κατέσχον ναυσὶν ἑκατὸν μάλιστα καὶ εἴκοσιν, ἐπειδὴ τήν τε ἧσσαν τὴν κατ' Ἰσσὸν Δαρείου ἐπύθοντο, καὶ ἡ Φοινίκη πᾶσα ἐχομένη ἤδη ὑπ' Ἀλεξάνδρου ἐφόβει αὐτούς. Καὶ τούτοις πᾶσιν ἔδωκεν Ἀλέξανδρος ἄδειαν τῶν πρόσθεν, ὅτι ὑπ' ἀνάγκης μᾶλλόν τι ἢ κατὰ γνώμην τὴν σφῶν ἐδόκουν ξυνταχθῆναι τοῖς Πέρσαις ἐς τὸ ναυτικόν. Ἐν ᾧ δὲ αἵ τε μηχαναὶ αὐτῷ ξυνεπήγνυντο, καὶ αἱ νῆες ὡς εἰς ἐπίπλουν [15]) τε καὶ ναυμαχίας ἀπόπειραν ἐξηρτύοντο,

---

11) gebogen. s. d. Wörterb. — 12) d. h. die eingeschlagenen Pfähle. — πρὸ αὐτοῦ geht auf die Seitentheile des Dammes. — 13) Während aber dieses rc. — 14) Ein den Rhodiern eigenthümliches Schiff, welches in der Umgegend von Rhodus stets auf Beobachtung umherkreuzt. — 15) um die Stadt anzugreifen, und wenn dieß nicht ge=

ἐν τούτῳ δὲ ἀναλαβὼν τῶν τε ἱππέων ἴλας ἔστιν ἃς, καὶ τοὺς ὑπασπιστὰς, καὶ τοὺς Ἀγριᾶνας τε καὶ τοὺς τοξότας, ἐπ' Ἀραβίας [16]) στέλλεται εἰς τὸν Ἀντιλίβανον καλούμενον τὸ ὄρος. Καὶ τὰ μὲν βίᾳ τῶν ταύτῃ ἐξελὼν, τὰ δὲ ὁμολογίᾳ παραστησάμενος, ἕνδεκα ἡμέραις ἐπανῆγεν εἰς τὴν Σιδῶνα, καὶ καταλαμβάνει Κλέανδρον τὸν Πολεμοκράτους ἐκ Πελοποννήσου ἥκοντα, καὶ ξὺν αὐτῷ μισθοφόρους Ἕλληνας τετρακισχιλίους. Ὡς δὲ συνετέτακτο αὐτῷ τὸ ναυτικὸν, ἐπιβιβάσας τοῖς καταστρώμασι [17]) τῶν ὑπασπιστῶν ὅσοι ἱκανοὶ ἐδόκουν ἐς τὸ ἔργον, εἰ μὴ διέκπλοις μᾶλλόν τι ἢ ἐν χερσὶν ἡ ναυμαχία γίγνοιτο, ἄρας ἐκ τῆς Σιδῶνος ἐπέπλει τῇ Τύρῳ ξυντεταγμέναις ταῖς ναυσὶν, αὐτὸς μὲν κατὰ τὸ δεξιὸν κέρας, ὃ δὴ ἐς τὸ πέλαγος αὐτῷ ἀνεῖχε· καὶ ξὺν αὐτῷ οἵ τε Κυπρίων βασιλεῖς, καὶ ὅσοι Φοινίκων, πλὴν Πνυταγόρου [18]). Οὗτος δὲ καὶ Κρατερὸς τὸ εὐώνυμον κέρας εἶχον τῆς πάσης τάξεως. Τοῖς δὲ Τυρίοις πρότερον μὲν ναυμαχεῖν ἐγνωσμένον ἦν, εἰ κατὰ θάλατταν ἐπιπλέοι σφίσιν Ἀλέξανδρος. Τότε δὲ πλῆθος νεῶν πολὺ ἀπροσδοκήτως κατιδόντες (οὐ γάρ πω πεπυσμένοι ἦσαν τάς τε Κυπρίων ναῦς καὶ τὰς Φοινίκων ξυμπάσας Ἀλέξανδρον ἔχοντα), καὶ ἅμα ξυντεταγμένως τοῦ ἐπίπλου γιγνομένου (ὀλίγον γὰρ πρὶν προσχεῖν τῇ πόλει, ἀνεκώχευσαν ἔτι πελάγιαι αἱ ξὺν Ἀλεξάνδρῳ νῆες· ἔπειτα [19]) οὕτω ξυνταξάμενοι, ὡς οὐκ ἀντανήγοντο, πολλῷ τῷ ῥοθίῳ ἐπέπλεον). ταῦτα ὁρῶντες [20]) οἱ Τύριοι, ναυμαχεῖν μὲν ἀπέγνωσαν· τριήρεσι δὲ, ὅσας τῶν λιμένων τὰ στόματα ἐδέχοντο, βύζην τὸν ἔσπλουν φραξάμενοι ἐφύλασσον, ὡς μὴ ἐς τῶν λιμένων τινὰ ἐγκαθορμισθῆναι τῶν πολεμίων τὸν

---

länge, ein Seetreffen zu wagen. — 16) cf. Curt. IV, 2, 24. — 17) καταστρώματα war das Verdeck der Schiffe. Es war aus Holz, und für die Seesoldaten errichtet, welche von da herab ihre Pfeile und Wurfspieße desto sicherer auf die Feinde werfen konnten. νῆες κατάφρακτοι sind daher Kriegsschiffe, ἄφρακτοι hingegen Transportschiffe. — διέκπλους wird durch folgende Erklärung deutlich: in einem Seetreffen suchten die Feinde im Vorbeifahren die Ruder abzustreifen, die Seitentheile zu beschädigen, und die Ordnung der ganzen Flotte zu verwirren. Gelang dieses, so kehrten sie sich um, wiederholten den Angriff, und suchten eine Gelegenheit, um die Schiffe in den Grund zu bohren. — 18) ein cyprischer König. — 19) diesem entspricht ὀλίγον πρίν. — 20) diese Wiederholung, die eigentlich schon in κατιδόντες läge, ist nur der Klarheit wegen wiederholt. cf. Xen. Anab. III, 1, 2. —

στόλον. Ἀλέξανδρος δὲ, ὡς οὐκ ἀντανήγοντο οἱ Τύριοι, ἐπέπλει τῇ πόλει· καὶ ἐς μὲν τὸν λιμένα τὸν πρὸς Σιδῶνος βιάζεσθαι ἀπέγνω, διὰ στενότητα τοῦ στόματος· καὶ ἅμα ἀντιπρώροις τριήρεσι πολλαῖς ὁρῶν πεφραγμένον τὸν ἔσπλουν· τρεῖς δὲ τὰς ἐξωτάτω ἐφορμούσας τῷ στόματι τριήρεις προσπεσόντες οἱ Φοίνικες καὶ ἀντιπρώροις ἐμβαλόντες καταδύουσιν. Οἱ δὲ ἐν ταῖς ναυσὶν οὐ χαλεπῶς ἀπενήξαντο ἐς τὴν γῆν, φιλίαν οὖσαν. Τότε μὲν δὴ οὐ πόῤῥω τοῦ ποιητοῦ χώματος κατὰ τὸν αἰγιαλὸν, ἵνα σκέπη τῶν ἀνέμων ἐφαίνετο, οἱ σὺν Ἀλεξάνδρῳ ὡρμίσαντο. Τῇ δὲ ὑστεραίᾳ, τοὺς μὲν Κυπρίους ξὺν ταῖς σφετέραις ναυσὶ καὶ Ἀνδρομάχῳ τῷ ναυάρχῳ κατὰ τὸν λιμένα τὸν ἐκ Σιδῶνος 21) φέροντα, ἐκέλευσεν ἐφορμεῖν τῇ πόλει. Τοὺς δὲ Φοίνικας κατὰ τὸν ἐπέκεινα 22) τοῦ χώματος, τὸν πρὸς Αἴγυπτον ἀνέχοντα, ἵνα καὶ αὐτῷ ἡ σκηνὴ ἦν.

Cap. IV. Ἤδη δὲ καὶ μηχανοποιῶν αὐτῷ πολλῶν ἔκ τε Κύπρου καὶ Φοινίκης ἁπάσης συλλελεγμένων, μηχαναὶ πολλαὶ συμπεπηγμέναι ἦσαν, αἱ μὲν ἐπὶ τοῦ χώματος, αἱ δὲ ἐπὶ τῶν ἱππαγωγῶν νεῶν, ἃς ἐκ Σιδῶνος ἅμα οἱ ἐκόμισεν· αἱ δὲ ἐπὶ τῶν τριηρῶν, ὅσαι αὐτῶν οὐ ταχυναυτοῦσαι ἦσαν. Ὡς δὲ παρεσκεύαστο ἤδη ξύμπαντα, προσῆγον 23) τὰς μηχανὰς κατά τε τὸ ποιητὸν χῶμα, καὶ ἀπὸ τῶν νεῶν ἄλλῃ καὶ ἄλλῃ τοῦ τείχους προσορμιζομένων τε καὶ ἀποπειρωμένων τοῦ τείχους. Οἱ δὲ Τύριοι ἐπί τε τῶν ἐπάλξεων τῶν κατὰ τὸ χῶμα πύργους ξυλίνους ἐπέστησαν, ὡς ἀπομάχεσθαι ἀπ᾽ αὐτῶν, καὶ εἴπῃ ἄλλῃ αἱ μηχαναὶ προσήγοντο 24), βέλεσί τε ἠμύνοντο, καὶ πυρφόροις ὀϊστοῖς ἔβαλλον αὐτὰς τὰς ναῦς· ὥστε φόβον παρέχειν τοῖς Μακεδόσι πελάζειν τῷ τείχει. Ἦν δὲ αὐτοῖς καὶ τὰ τείχη κατὰ τὸ χῶμα, τό, τε ὕψος εἰς πεντήκοντα καὶ ἑκατὸν μάλιστα πόδας, καὶ ἐς πλάτος 25) ξύμμετρον, λίθοις μεγάλοις ἐν γύψῳ κειμένοις ξυμπεπηγότα. Ταῖς δὲ ἱππαγωγοῖς τε καὶ ταῖς τριήρεσι τῶν Μακεδόνων, ὅσαι τὰς μηχανὰς προσῆγον τῷ τείχει, καὶ ταύτῃ οὐκ εὔπορον ἐγίγνετο πελάζειν τῇ πόλει· ὅτι λίθοι πολλοὶ ἐς τὸ πέλαγος προβεβλημένοι ἐξεῖργον αὐτῶν τὴν ἐγγὺς προσβολήν. Καὶ

---

21) den Hafen, der die von Sidon segelnden aufnimmt. — 22) an dem Hafen, der jenseits des Dammes gegen Aegypten hin lag. — 23) Sie näherten die Maschinen von der Seite des Dammes und der Schiffe her, und brachten sie allenthalben an die Mauern. — 24) sc. ναῦσι. — 25) und so verhältnißmäßig breit, als die Baukunst erfordert, um die bedeutende Last zu tragen. —

τούτους Ἀλέξανδρος ἔγνω ἐξελκύσαι ἐκ τῆς θαλάσσης· ἠνύετο δὲ χαλεπῶς τοῦτο τὸ ἔργον, οἷα δὴ ἀπὸ νεῶν, καὶ οὐκ ἀπὸ γῆς βεβαίου, γινόμενον· ἄλλως τε καὶ οἱ Τύριοι ναῦς καταφράξαντες παρὰ τὰς ἀγκύρας ἐπῆγον [26]) τῶν τριηρῶν καὶ ὑποτέμνοντες τὰς σχοίνους τῶν ἀγκυρῶν, ἄπορον τὴν προσόρμισιν ταῖς πολεμίαις ναυσὶν ἐποίουν. Ἀλέξανδρος δὲ τριακοντόρους πολλὰς ἐς τὸν αὐτὸν τρόπον φράξας, ἐπέστησεν ἐγκαρσίας πρὸ τῶν ἀγκυρῶν, ὡς ὑπ' αὐτῶν ἀναστέλλεσθαι τὸν ἐπίπλουν τῶν νεῶν. Ἀλλὰ καὶ ὡς ὕφαλοι κολυμβηταὶ τὰς σχοίνους αὐτοῖς ὑπέτεμνον. Οἱ δὲ ἁλύσεσιν εἰς τὰς ἀγκύρας ἀντὶ σχοίνων χρώμενοι οἱ Μακεδόνες καθίεσαν, ὥς τε μηδὲν ἔτι πλέον τοῖς κολυμβηταῖς γίγνεσθαι. Ἐξάπτοντες [27]) οὖν βρόχους τῶν λίθων, ἀπὸ τοῦ χώματος ἀνέσπων αὐτοὺς ἔξω τῆς θαλάσσης· ἔπειτα μηχαναῖς μετεωρίσαντες, κατὰ βάθους ἀφίεσαν, ἵνα οὐκέτι προβεβλημένοι βλάψειν ἔμελλον. Ὅπου δὲ καθαρὸν πεποίητο τῶν προβόλων [28]) τὸ τεῖχος, οὐ χαλεπῶς ἤδη ταύτῃ αἱ νῆες προσεῖχον. Οἱ δὲ Τύριοι, πάντῃ ἄποροι γιγνόμενοι, ἔγνωσαν ἐπίπλουν ποιήσασθαι ταῖς Κυπρίαις ναυσὶν, αἳ κατὰ τὸν λιμένα ἐφώρμουν τὸν ἐς Σιδῶνα τετραμμένον· ἐκ πολλοῦ δὴ καταπετάσαντες τοῦ λιμένος τὸ στόμα ἱστίοις, τοῦ μὴ καταφανῆ γενέσθαι τῶν τριηρῶν τὴν πλήρωσιν, ἀμφὶ μέσον ἡμέρας, ὁπότε οἵ τε ναῦται ἐπὶ τὰ ἀναγκαῖα ἐσκεδασμένοι ἦσαν, καὶ Ἀλέξανδρος ἐν τούτῳ μάλιστα ἀπὸ τοῦ ἐπὶ θάτερα τῆς πόλεως ναυτικοῦ ἐπὶ τὴν σκηνὴν ἐπεχώρει, πληρώσαντες πεντήρεις μὲν τρεῖς καὶ τετρήρεις ἴσας, τριήρεις δὲ ἑπτὰ, ὡς ἀκριβεστάτοις τε τοῖς πληρώμασι καὶ τοῖς ἀπὸ τῶν καταστρωμάτων μάχεσθαι μέλλουσιν εὐοπλοτάτοις, καὶ ἅμα εὐθαρσοτάτοις ἐς τοὺς ναυτικοὺς ἀγῶνας. Τὰ μὲν πρῶτα ἀτρέμα τῇ εἰρεσίᾳ ἐπὶ μιᾶς νεὼς [29]) ἐξέπλεον, ἄνευ κελευστῶν [30]) τὰς κώπας [31]) παραφέροντες· ὡς δὲ ἐπέστρεφον ἤδη ἐπὶ τοὺς Κυπρίους, καὶ ἐγγὺς τοῦ καθορᾶσθαι ἦσαν, τότε δὴ ξὺν βοῇ τε πολλῇ καὶ ἐγκελευσμῷ ἐς ἀλλήλους, καὶ ἅμα τῇ εἰρεσίᾳ ξυντόνῳ ἐπεφέροντο.

Cap. V. Ξυνέβη δὲ ἐκείνῃ μὲν τῇ ἡμέρᾳ Ἀλέξανδρον ἀποχωρῆσαι ἐπὶ τὴν σκηνὴν, οὐ διατρίψαντα δὲ κατὰ τὸ εἰωθὸς,

---

26) sc. τὰς ναῦς. — 27) sie standen auf dem Damm und zogen die Steine mittelst daran befestigter Seile heraus. — 28) die ins Meer vorstehenden Steine. — 29) einzeln, um sich nicht durch den Ruderschlag zu verrathen. — 30) κελευστής war derjenige, welcher den Ruderknechten das Kommando zurufen, und allen, die zum Schiffsvolke gehörten, die tägliche Mundprovision austheilen mußte. — cf. Xen. hist. gr. V, 1, 8. — 31) i. q. remigare. —

δι' ὀλίγου ἐπὶ τὰς ναῦς ἐπανελθεῖν. Οἱ δὲ Τύριοι προσπεσόντες ἀπροσδοκήτως ταῖς ναυσὶν ὁρμούσαις, καὶ ταῖς μὲν πάντη κεναῖς ἐπιτυχόντες, τῶν δ' ὑπ' αὐτὴν τὴν βοὴν καὶ τὸν ἐπίπλουν χαλεπῶς ἐκ τῶν παρόντων πληρουμένων, τήν τε Πνυταγόρου τοῦ βασιλέως πεντήρη εὐθὺς ὑπὸ τῇ πρώτῃ ἐμβολῇ κατέδυσαν, καὶ τὴν Ἀνδροκλέους τοῦ Ἀμαθουσίου, καὶ τὴν Πασικράτους τοῦ Θουριέως· τὰς δὲ ἄλλας ἐς τὸν αἰγιαλὸν ἐξωθοῦντες ἔκοπτον 32). Ἀλέξανδρος δὲ ὡς ᾔσθετο τὸν ἔκπλουν τῶν Τυρίων τριηρῶν, τὰς μὲν πολλὰς τῶν ξὺν αὐτῷ νεῶν, ὅπως ἑκάστη πληρωθείη, ἐπὶ τῷ στόματι τοῦ λιμένος 33) ἀνακωχεύειν ἔταξεν, ὡς μὴ καὶ ἄλλαι ἐκπλεύσειαν τῶν Τυρίων νῆες· αὐτὸς δὲ πεντήρεις τε τὰς ξὺν αὐτῷ ἀναλαβὼν, καὶ τῶν τριηρῶν ἐς πέντε μάλιστα, ὅσαι ἔφθησαν αὐτῷ κατὰ τάχος πληρωθεῖσαι, περιέπλει τὴν πόλιν ὡς ἐπὶ τοὺς ἐκπεπλευκότας τῶν Τυρίων. Οἱ δὲ ἀπὸ τοῦ τείχους τόν τε ἐπίπλουν τῶν πολεμίων κατιδόντες, καὶ Ἀλέξανδρον αὐτὸν ἐπὶ τῶν νεῶν, βοῇ τε ἐπανάγειν ἐνεκελεύοντο τοῖς ἐκ τῶν σφετέρων νεῶν, καὶ ὡς οὐκ ἐξακουστὸν ἦν ὑπὸ θορύβου ξυνεχομένων ἐν τῷ ἔργῳ, σημείοις ἄλλοις καὶ ἄλλοις ἐπεκάλουν ἐς τὴν ἀναχώρησιν. Οἱ δὲ ὀψέ ποτε αἰσθόμενοι τὸν ἐπίπλουν τῶν ἀμφ' Ἀλέξανδρον, ὑποστρέψαντες εἰς τὸν λιμένα 34) ἔφευγον· καὶ ὀλίγαι μὲν τῶν νεῶν φθάνουσιν ὑπεκφυγοῦσαι, ταῖς δὲ πλείοσιν ἐμβαλοῦσαι αἱ ξὺν Ἀλεξάνδρῳ, τὰς μὲν αὐτῶν ἄπλους ἐποίησαν, πεντήρης δέ τις καὶ τετρήρεις αὐτῶν ἐπ' αὐτῷ τῷ στόματι τοῦ λιμένος ἐλήφθησαν. Φόνος δὲ τῶν ἐπιβατῶν οὐ πολὺς ἐγένετο. Ὡς γὰρ ᾔσθοντο ἐχομένας τὰς ναῦς, ἀπενήξαντο οὐ χαλεπῶς ἐς τὸν λιμένα. Ὡς δὲ οὐδεμία ἔτι τοῖς Τυρίοις ἐκ τῶν νεῶν ὠφέλεια ἦν, ἐπῆγον ἤδη οἱ Μακεδόνες τὰς μηχανὰς 35) τείχει αὐτῶν. Κατὰ μὲν δὴ τὸ χῶμα προσαγόμεναι, διὰ ἰσχὺν τοῦ τείχους, οὐδὲν ἤνυον ὅ, τι καὶ λόγου ἄξιον. Οἱ δὲ κατὰ τὸ πρὸς Σιδῶνα τετραμμένον τῆς πόλεως τῶν νεῶν τινὰς τῶν μηχανοφόρων προσῆγον. Ὡς δὲ οὐδὲ ταύτῃ ἤνυον, ἐς τὸ πρὸς νότον ἄνεμον καὶ πρὸς Αἴγυπτον ἀνέχον τεῖχος μετῄει, πάντῃ ἀποπειρώμενος τοῦ ἔργου. Καὶ ἐνταῦθα πρῶτόν τε κατεσείσθη τὸ τεῖχος ἐπὶ μέγα 36), καί τι καὶ κατηρίφθη αὐτοῦ παραῤῥαγέν.

---

32) zerbrachen sie, und verdarben daran, was sie konnten. — 33) d. h. der gegen Aegypten hin lag. Denn Alexander war auf der Südseite des Dammes mit einem Theile der Schiffe. — 34) portum versus. — 35) und zwar vorzüglich die Mauerbrecher. — 36) d. h. sie ward größtentheils erschüttert, und ein Theil ward durchbrochen. —

Τότε μὲν δὴ ὅσον 37) *ἐπιβαλὼν γεφύρας, ᾗ ἐρέριπτο τοῦ τείχους, ἀπεπειράθη ἐς ὀλίγον τῆς προσβολῆς· καὶ οἱ Τύριοι οὐ χαλεπῶς ἀπεκρούσαντο τοὺς Μακεδόνας.*

Cap. VI. *Τρίτῃ δὲ ἀπὸ ταύτης ἡμέρᾳ νηνεμίαν τε φυλάξας, καὶ παρακαλέσας τοὺς ἡγεμόνας τῶν τάξεων ἐς τὸ ἔργον, ἐπῆγε τῇ πόλει ἐπὶ τῶν νεῶν τὰς μηχανάς. Καὶ πρῶτα μὲν κατέσεισε τοῦ τείχους ἐπὶ μέγα. Ὡς δὲ ἀποχρῶν εἰς πλάτος ἐφάνη τὸ παρεῤῥηγμένον, τὰς μὲν μηχανοφόρους ναῦς ἐπανάγειν ἐκέλευσεν· ὁ δὲ δύο ἄλλας ἐπῆγεν, αἳ τὰς γεφύρας αὐτῷ ἔφερον, ἃς δὴ ἐπιβάλλειν ἐπενόει τῷ κατεῤῥηγμένῳ τοῦ τείχους. Καὶ τὴν μὲν μίαν τῶν νεῶν οἱ ὑπασπισταὶ* 38) *ἔλαβον, ᾗ ἐπετέτακτο Ἄδμητος· τὴν ἑτέραν δέ, ἡ Κοίνου τάξις οἱ πεζέταιροι καλούμενοι, καὶ αὐτὸς ξὺν τοῖς ὑπασπισταῖς ἐπιβήσασθαι τοῦ τείχους, ᾗ παρείκοι, ἔμελλε. Τὰς τριήρεις δέ, τὰς μὲν ἐπιπλεῖν κατὰ τοὺς λιμένας ἀμφοτέρους ἐκέλευσεν, εἴ πως πρὸς σφᾶς τετραμμένων τῶν Τυρίων βιάσαιντο τὸν ἔσπλουν· ὅσαι δὲ αὐτῶν βέλη ἀπὸ μηχανῶν βαλλόμενα εἶχον, ἢ ὅσαι τοξότας ἐπὶ τῶν καταστρωμάτων ἔφερον, ταύτας δὲ ἐκέλευσεν ἐν κύκλῳ περιπλεούσας τὸ τεῖχος, ἐποκέλλειν τε ὅποι παρείκοι, καὶ ἀνακωχεύειν ἐντὸς βέλους ἔς τε τὸ ἐποκεῖλαι ἄπορον γίγνοιτο· ὡς πανταχόθεν βαλλομένους τοὺς Τυρίους, ἐν τῷ δεινῷ ἀμφιβόλους γίγνεσθαι. Ὡς δὲ αἵ τε νῆες αἱ ξὺν Ἀλεξάνδρῳ προσέσχον τῇ πόλει, καὶ αἱ γέφυραι ἐπεβλήθησαν τῷ τείχει ἀπ᾽ αὐτῶν, ἐνταῦθα οἱ ὑπασπισταὶ εὐρώστως κατὰ ταύτας ἀνέβαινον ἐπὶ τὸ τεῖχος, [ὅ, τε γὰρ Ἄδμητος ἀνὴρ ἀγαθὸς ἐν τῷ τότε ἐγένετο] καὶ ἅμα Ἀλέξανδρος εἵπετο αὐτοῖς, τοῦ τε ἔργου αὐτοῦ καρτερῶς ἁπτόμενος, καὶ θεατὴς τῶν ἄλλων, ὅτῳ τι λαμπρὸν κατ᾽ ἀρετὴν ἐν τῷ κινδύνῳ ἐτολμᾶτο. Καὶ ταύτῃ πρῶτον, ᾗ ἐπετέτακτο Ἀλέξανδρος, ἐλήφθη τὸ τεῖχος, οὐ χαλεπῶς ἀποκρουσθέντων ἀπ᾽ αὐτοῦ τῶν Τυρίων, ἐπειδὴ πρῶτον* 39) *βεβαίῳ τε καὶ ἅμα οὐ πάντῃ ἀποτόμῳ τῇ*

---

37) *ὅσον*, tamquam, quasi. Es war nur ein Versuch, er meinte nicht damals schon völliges Gelingen — zu *τοῦ τείχους* ergänze man *τι*. — 38) Nur die Leute des Admetus waren in einem Schiffe. Auch die Abtheilung des Cönus war nur zum sechsten Theile da, die übrigen fuhren vermuthlich auf besonderen Schiffen herzu, um über die mit Brücken belegten Schiffe auf die Mauer zu kommen. — 39) Sie konnten weder auf den Brücken, noch auf der äußersten Spitze der Mauer, welche sich leicht ablösete, festen Fuß fassen, und mußten also fürchten, ins

προσβάσει ἐχρήσαντο οἱ Μακεδόνες. Καὶ Ἄδμητος μὲν, πρῶτος ἐπιβὰς τοῦ τείχους, καὶ τοῖς ἀμφ' αὐτὸν ἐγκελευόμενος ἐπιβαίνειν, βληθεὶς λόγχῃ, ἀποθνήσκει αὐτοῦ. Ἐπὶ δὲ αὐτῷ 40) Ἀλέξανδρος ἔσχε τὸ τεῖχος ξὺν τοῖς ἑταίροις. Ὡς δὲ εἴχοντο αὐτῷ πύργοι τε ἔστιν οἳ καὶ μεταπύργια, αὐτὸς μὲν παρῄει διὰ τῶν ἐπάλξεων ὡς ἐπὶ τὰ βασίλεια, ὅτι ταύτῃ εὐπορωτέρα ἐφαίνετο ἐς τὴν πόλιν ἡ κάθοδος.

Cap. VII. Οἱ δὲ ἐπὶ τῶν νεῶν, οἵ τε 41) Φοίνικες, κατὰ τὸν λιμένα τὸν πρὸς Αἴγυπτον (καθ' ὅνπερ καὶ ἐφορμοῦντες ἐτύγχανον) βιασάμενοι, καὶ τὰ κλεῖθρα 42) διασπάσαντες, ἔκοπτον τὰς ναῦς ἐν τῷ λιμένι, ταῖς μὲν μετεώροις ἐμβάλλοντες, τὰς δὲ ἐς τὴν γῆν ἐξωθοῦντες. Καὶ οἱ Κύπριοι κατὰ τὸν ἄλλον λιμένα τὸν ἐκ Σιδῶνος φέροντα, οὐδὲ κλεῖθρόν 43) γε τοῦτον ἔχοντα, εἰσπλεύσαντες, εἷλον εὐθὺς ταύτῃ τὴν πόλιν. Τὸ δὲ πλῆθος τῶν Τυρίων τὸ μὲν τεῖχος, ὡς ἐχόμενον εἶδον, ἐκλείπουσιν· ἀθροισθέντες δὲ κατὰ τὸ Ἀγηνόριον 44) καλούμενον, ἐπέστρεψαν ταύτῃ ἐπὶ τοὺς Μακεδόνας. Καὶ Ἀλέξανδρος ξὺν τοῖς ὑπασπισταῖς ἐπὶ τούτους χωρήσας, τοὺς μὲν αὐτοῦ μαχομένους διέφθειρεν αὐτῶν, τοῖς δὲ φεύγουσιν ἐφείπετο. Καὶ φόνος ἦν πολὺς, τῶν τε ἀπὸ τοῦ λιμένος ἐχόντων ἤδη τὴν πόλιν, καὶ τῆς Κοίνου τάξεως παρεληλυθυίας εἰς αὐτήν. Ὀργῇ γὰρ ἐχώρουν ἐπίπαν οἱ Μακεδόνες, τῆς τε πολιορκίας τῇ τριβῇ 45) ἀχθόμενοι, καὶ ὅτι λαβόντες τινὰς αὐτῶν οἱ Τύριοι πλέοντας ἐκ Σιδῶνος, ἐπὶ τὸ τεῖχος ἀναβιβάσαντες ὅπως ἄποπτον εἴη ἀπὸ τοῦ στρατοπέδου, σφάξαντες ἔῤῥιψαν εἰς τὴν θάλασσαν. Ἀπέθανον δὲ τῶν μὲν Τυρίων ἐς ὀκτακισχιλίους· τῶν δὲ Μακεδόνων, ἐν τῇ τότε προσβολῇ, Ἄδμητός τε, ὁ πρῶτος ἑλὼν τὸ τεῖχος, ἀνὴρ ἀγαθὸς γενόμενος, καὶ ξὺν αὐτῷ εἴκοσι τῶν ὑπασπιστῶν· ἐν δὲ τῇ πάσῃ πολιορκίᾳ μάλιστα ἐς τετρακοσίους. Τοῖς δὲ ἐς τὸ ἱερὸν τοῦ Ἡρακλέους καταφυγοῦσιν, (ἦσαν δὲ αὐτῶν τε τῶν Τυρίων οἱ μάλιστα ἐν τέλει, καὶ ὁ βασιλεὺς Ἀζέμιλκος, καὶ Καρχηδονίων τινὲς θεωροὶ 46) ἐς τιμὴν τοῦ Ἡρακλέος, κατὰ δή τι νόμιμον παλαιὸν, εἰς τὴν μητρόπολιν ἀφικόμενοι) τούτοις ξύμπασιν ἄδειαν

Meer zu stürzen. — 40) nach dem Admet gestorben war. — 41) und zwar. — 42) Ketten. — 43) οὐδὲ gehört zu κλεῖθρον nicht zu τοῦτον. — 44) Agenor soll Tyrus erbaut haben. — 45) Tyrus ward erst im siebenten Monate der Belagerung erobert. — πλέοντας ἐκ Σιδῶνος. cf. Curt. IV, 2, 15. — 46) Die Karthager sandten dem Herkules den Zehend aus allen Erträgnissen. —

δίδωσιν Ἀλέξανδρος, τοὺς δὲ ἄλλους ἠνδραπόδισε. Καὶ ἐπράθησαν Τυρίων τε καὶ τῶν ξένων ὅσοι ἐγκατελήφθησαν, μάλιστα ἐς τρισμυρίους. Ἀλέξανδρος δὲ τῷ Ἡρακλεῖ ἔθυσέ τε, καὶ πομπὴν ἔστειλε, ξὺν τῇ δυνάμει ὡπλισμένῃ· καὶ αἱ νῆες ξυνεπόμπευσαν τῷ Ἡρακλεῖ, καὶ ἀγῶνα γυμνικὸν ἐν τῷ ἱερῷ καὶ λαμπάδα ἐποίησε· καὶ τὴν μηχανὴν, ᾗ τὸ τεῖχος κατεσείσθη, ἀνέθηκεν εἰς τὸν νεών· καὶ τὴν ναῦν τὴν Τυρίαν, τὴν ἱερὰν τοῦ Ἡρακλέους, ἥν τινα ἐν τῷ ἐπίπλῳ ἔλαβε, καὶ ταύτην τῷ Ἡρακλεῖ ἀνέθηκε, καὶ ἐπίγραμμα ἐπ' αὐτῇ, ἢ αὐτὸς ποιήσας, ἢ ὅτου δὴ ἄλλου ποιήσαντος οὐκ ἄξιον μνήμης τὸ ἐπίγραμμα, διὰ τοῦτο καὶ ἐγὼ αὐτὸ ἀναγράψαι ἀπηξίωσα. Τύρος μὲν δὴ οὕτως ἑάλω, ἐπὶ ἄρχοντος Ἀνικήτου Ἀθήνησι, μηνὸς Ἑκατομβαιῶνος.

VI.

Lebensgeschichte des röm. Kaisers Alexander Severus,

222. p. C.

Παραλαβόντος τὴν ἀρχὴν Ἀλεξάνδρου, τὸ σχῆμα καὶ τὸ ὄνομα τῆς βασιλείας ἐκείνῳ περιέκειτο· ἡ μέντοι διοίκησις τῶν πραγμάτων καὶ ἡ τῆς ἀρχῆς οἰκονομία ὑπὸ ταῖς γυναιξὶ διῳκεῖτο· ἐπί τε τὸ σωφρονέστερον καὶ σεμνότερον πάντα μετάγειν ἐπειρῶντο. καὶ πρῶτον μὲν τῆς συγκλήτου Βουλῆς τοὺς δοκοῦντας καὶ ἡλικίᾳ σεμνοτάτους, καὶ βίῳ σωφρονεστάτους, ἑκκαίδεκα ἐπελέξαντο, συνέδρους εἶναι καὶ συμβούλους τοῦ βασιλέως· οὐδέ τι ἐλέγετο ἢ ἐπράττετο, εἰ μὴ κἀκεῖνοι αὐτὸ ἐπικρίναντες, σύμψηφοι ἐγένοντο. ἤρεσκέ τε τῷ δήμῳ καὶ τοῖς στρατοπέδοις, ἀλλὰ καὶ τῇ συγκλήτῳ Βουλῇ, τὸ σχῆμα τῆς βασιλείας, ἐκ τυραννίδος ἐφυβρίστου εἰς ἀριστοκρατίας τύπον μετενεχθείσης.

Πρῶτον μὲν οὖν τὰ ἀγάλματα τῶν θεῶν, ἅπερ ἔτυχεν Ἀντωνῖνος [1]) κινήσας καὶ μεταγαγών, ἔπεμψαν εἰς τοὺς ἀρχαίους

VI.

Lebensgeschichte des röm. Kaisers Alexander Severus.

1) d. h. Pseudoantoninus. —

καὶ ἰδίους ναούς τε καὶ σηκούς· τούς τε ὑπ' ἐκείνου ἀλόγως, ἢ ἐφ' οἷς εὐδοκιμήκεσαν ἁμαρτήμασιν, εἰς τιμὰς καὶ ἐξουσίας προαχθέντας, τῶν δοθέντων ἀφείλοντο, ἑκάστους κελεύσαντες εἰς τὴν προτέραν αὐτῶν ἐπανιέναι τῆς ἀξίας αἵρεσιν. τάς τε πράξεις ἁπάσας καὶ τὰς διοικήσεις, τὰς μὲν πολιτικὰς καὶ ἀγοραίους, ἐνεχείρισαν τοῖς ἐπὶ λόγοις εὐδοκιμωτάτοις καὶ νόμων ἐμπείροις· τὰς δὲ στρατιωτικὰς, τοῖς ἐξετασθεῖσί τε καὶ εὐδοκιμήσασιν ἐν εὐτάκτοις τε καὶ πολεμικαῖς πράξεσιν. ἐπὶ πολὺ δ' οὕτω τῆς ἀρχῆς διοικουμένης, ἡ μὲν Μαισὰ, πρεσβῦτις ἤδη οὖσα, ἀνεπαύσατο τοῦ βίου· ἔτυχέ τε βασιλικῶν τιμῶν, καί, ὡς νομίζουσι Ῥωμαῖοι, ἐξεθειάσθη.

Ἡ δὲ Μαμμαία, μόνη τῷ παιδὶ καταλειφθεῖσα, ὁμοίως αὐτοῦ ἄρχειν τε καὶ κρατεῖν ἐπειρᾶτο. ἤδη τε ὁρῶσα ἐν ἀρχῇ τὸν νεανίαν γενόμενον, καὶ δεδοικυῖα μὴ ἄρα ἡλικία ἀκμάζουσα, ὑπηρετούσης ἀδείας τε καὶ ἐξουσίας, εἴς τι τῶν γενικῶν ἁμαρτημάτων ἐξοκείλῃ, πανταχόθεν ἐφρούρει τὴν αὐλήν· οὐδέ τινα εἴα προσιέναι τῷ μειρακίῳ τῶν ἐπὶ φαύλῳ βίῳ διαβεβλημένων, μή πως τὸ ἦθος διαφθαρείη, προκαλεσαμένων αὐτοῦ τῶν κολάκων τὰς ὀρέξεις ἀκμαζούσας εἰς αἰσχρὰς ἐπιθυμίας. δικάζειν τε οὖν αὐτὸν ἔπειθε συνεχέστατα καὶ ἐπὶ πλεῖστον τῆς ἡμέρας, ὡς ἂν ἀσχολούμενος περὶ τὰ κρείττονα καὶ τῇ βασιλείᾳ ἀναγκαῖα, μὴ ἔχοι καιρὸν εἰς τὸ ἐπιτηδεύειν τι τῶν ἁμαρτημάτων. ὑπῆρχε δέ τι καὶ φυσικὸν ἦθος [2]) πρᾶον καὶ ἥμερον τῷ Ἀλεξάνδρῳ εἴς τε τὸ φιλάνθρωπον πάνυ ἐπιῤῥεπές· ὡς ἐδήλωσε καὶ τῆς ἡλικίας προχωρούσης. εἰς τεσσαρεσκαιδέκατον γοῦν ἐλάσας τῆς βασιλείας ἔτος, ἀναιμωτὶ ἦρξεν· οὐδέ τις εἰπεῖν ἔχει ὑπ' ἐκείνου φονευθέντα. καίτοι τινῶν, μεγίσταις αἰτίαις ὑποπεσόντων, ὅμως ἐφείσατο ὡς μὴ φονεῦσαι· οὐ ῥᾳδίως τοῦτο ἄλλου βασιλέως τῶν καθ' ἡμᾶς ποιήσαντος ἢ παραφυλάξαντος, μετὰ τὴν Μάρκου [3]) ἀρχήν. ὑπ' Ἀλεξάνδρου δ' οὐκ ἄν τις εἰπεῖν ἔχοι ἢ μνημονεῦσαι, ἐν ἔτεσι τοσούτοις ἀκρίτως φονευθέντα.

Ἠτιᾶτο δὲ καὶ τὴν μητέρα, καὶ πάνυ ἤσχαλλεν, ὁρῶν αὐτὴν οὖσαν φιλοχρήματον, καὶ περὶ τοῦτο ὑπερφυῶς ἐσπουδακυῖαν. προσποιουμένη γὰρ ἀθροίζειν αὐτά, ἵνα ἔχοι τοῖς στρατιώταις ἀφθόνως καὶ ῥᾳδίως ὁ Ἀλέξανδρος χαρίζεσθαι, ἰδίᾳ ἐθησαύριζε· καὶ διέβαλλεν ἔσθ' ὅπῃ τοῦτο τὴν ἀρχήν, αὐτοῦ ἄκοντός τε καὶ ἀσχάλλοντος οὐσίας τινῶν καὶ κληρονομίας ἐξ ἐπηρείας ὑφαρπασάσης ἐκείνης.

---

2) cf. Bos. de ellips. p. 170. — 3) Mark Aurel. —

Ἠγάγετο δ᾽ αὐτῷ καὶ γυναῖκα τῶν εὐπατριδῶν, ἣν συνοικοῦσαν καὶ ἀγαπωμένην μετὰ ταῦτα τῶν βασιλείων ἐδίωξεν· ἐνυβρίζουσά τε καὶ βασίλισσα εἶναι θέλουσα μόνη [4]), φθονοῦσά τε τῆς προςηγορίας ἐκείνῃ, εἰς τοσοῦτον προεχώρησεν ὕβρεως, ὡς τὸν πατέρα τῆς κόρης, καίτοι ὑπ᾽ Ἀλεξάνδρου γαμβροῦ ὄντος πάνυ τιμώμενον, μὴ φέροντα τὴν Μαμμαίαν ἐνυβρίζουσαν αὐτῷ τε καὶ τῇ θυγατρὶ αὐτοῦ, φυγεῖν εἰς τὸ στρατόπεδον· τῷ μὲν Ἀλεξάνδρῳ χάριν εἰδότα ἐφ᾽ οἷς ἐτιμᾶτο, τὴν δὲ Μαμμαίαν αἰτιώμενον ἐφ᾽ οἷς ὑβρίζετο. ἐκείνη δὲ ἀγανακτήσασα, αὐτόν τε ἀναιρεθῆναι ἐκέλευσε, καὶ τὴν κόρην ἐκβληθεῖσαν τῶν βασιλείων εἰς Λιβύην ἐφυγάδευσε. ταῦτα δὲ ἐπράττετο ἄκοντός τε καὶ ἀναγκαζομένου τοῦ Ἀλεξάνδρου. ἦρχε γὰρ αὐτοῦ καὶ ὑπερβαλλόντως ἡ μήτηρ, καὶ πᾶν τὸ κελευόμενον ἐκεῖνος ἐποίει. τοῦτο δ᾽ ἄν τις μόνον ἔσχεν ἐγκαλέσαι αὐτῷ, ὅτι δὴ ὑπὸ περιττῆς πρᾳότητος, καὶ αἰδοῦς πλείονος ἢ ἐχρῆν, τῇ μητρί, ἐν οἷς ἀπηρέσκετο, ὅμως ἐπείθετο.

2. Ἐτῶν μὲν οὖν τριςκαίδεκα οὕτως, ὅσον [5]) ἐπ᾽ αὐτῷ, τὴν βασιλείαν ἀμέμπτως διῴκησε. τῷ δὲ τεσσαρεςκαιδεκάτῳ ἔτει αἰφνιδίως ἐκομίσθη γράμματα τῶν κατὰ Συρίαν τε καὶ Μεσοποταμίαν ἡγεμόνων, δηλοῦντα, ὅτι Ἀρταξέρξης ὁ Περσῶν βασιλεὺς, μετὰ τὸ Παρθυαίους καθελεῖν, καὶ τῆς κατὰ τὴν ἀνατολὴν ἀρχῆς παραλῦσαι, Ἀρτάβανόν τε, τὸν πρότερον καλούμενον τὸν μέγαν βασιλέα, καὶ δυσὶ διαδήμασι χρώμενον, ἀποκτεῖναι, πάντα τε τὰ περίοικα Βάρβαρα χειρώσασθαι, καὶ εἰς φόρου συντέλειαν ὑπαγαγέσθαι, οὐχ ἡσυχάζει, οὐδ᾽ ἐντὸς Τίγριδος ποταμοῦ μένει, ἀλλὰ τὰς ὄχθας ὑπερβαίνων καὶ τοὺς τῆς Ῥωμαίων ἀρχῆς ὅρους, Μεσοποταμίαν τε κατατρέχει, καὶ Σύροις ἀπειλεῖ· πᾶσάν τε τὴν ἀντικειμένην ἤπειρον Εὐρώπῃ, καὶ διαιρουμένην Αἰγαίῳ τε καὶ τῷ πορθμῷ τῆς Προποντίδος, Ἀσίαν τε πᾶσαν καλουμένην, προγονικὸν κτῆμα ἡγούμενος, τῇ Περσῶν ἀρχῇ ἀνακτήσασθαι βούλεται· φάσκων ἀπὸ Κύρου, τοῦ πρώτου τὴν ἀρχὴν ἐκ Μήδων εἰς Πέρσας μεταστήσαντος, μέχρι Δαρείου, τοῦ τελευταίου Περσῶν βασιλέως, (οὗ τὴν ἀρχὴν Ἀλέξανδρος ὁ Μακεδὼν καθεῖλε), πάντα μέχρις Ἰωνίας καὶ Καρίας ὑπὸ σατράπαις Περσικοῖς διῳκῆσθαι· προςήκειν οὖν αὐτῷ, Πέρσαις ἀνανεώσασθαι πᾶσαν ὁλόκληρον, ἣν πρότερον ἔσχον, ἀρχήν.

---

4) d. h. die Mutter des Alexander. — 5) so viel an ihm lag. —

Τοιαῦτα τοίνυν δηλωσάντων καὶ ἐπιστειλάντων τῶν ὑπὸ ταῖς ἀνατολαῖς ἡγεμόνων, πρὸς τὴν αἰφνίδιον καὶ παρ' ἐλπίδα κομισθεῖσαν ἀγγελίαν οὐ μετρίως ὁ Ἀλέξανδρος ἐταράχθη, καὶ μάλιστα, εἰρήνῃ ἐκ παίδων ἐντραφείς, καὶ τῇ κατὰ τὴν πόλιν ἀεὶ σχολάσας τρυφῇ. τὰ μὲν οὖν πρῶτα ἔδοξεν αὐτῷ, κοινωσαμένῳ τοῖς φίλοις, πρεσβείαν πέμψαι, καὶ διὰ γραμμάτων κωλῦσαι τὴν ὁρμὴν καὶ ἐλπίδα τοῦ Βαρβάρου. ἔλεγε δὲ τὰ γράμματα, δεῖν μένειν τε αὐτὸν ἐν τοῖς τῶν ἰδίων ὅροις, καὶ μὴ καινοτομεῖν, μηδὲ ματαίαις ἐλπίσιν αἰωρούμενον, μέγαν ἐγείρειν πόλεμον, ἀγαπητῶς τε ἔχειν ἕκαστον τὰ αὐτοῦ. μηδὲ γὰρ ὁμοίαν ἔσεσθαι μάχην αὐτῷ πρὸς Ῥωμαίους, οἵαν σχεῖν πρὸς τοὺς γειτνιῶντας καὶ ὁμοφύλους Βαρβάρους. ὑπεμίμνησκε δὲ τὰ γράμματα τῶν τε τοῦ Σεβαστοῦ καὶ τοῦ Τραϊανοῦ, Λουκίου τε καὶ Σεβήρου, κατ' αὐτῶν τροπαίων. τοιαῦτα μὲν δή τινα ὁ Ἀλέξανδρος ἐπιστείλας, ᾤετο πείσειν ἢ φοβήσειν εἰς τὸ ἡσυχάζειν τὸν Βάρβαρον.

Ὁ δ' οὐδέν τι φροντίζων τῶν ἐπεσταλμένων, ὅπλοις, ἀλλ' οὐ λόγοις, οἰόμενος δεῖν τὰ πράγματα διοικεῖσθαι, ἐνέκειτο ἄγων καὶ φέρων τὰ Ῥωμαίων ἅπαντα· κατατρέχων τε καὶ καθιππεύων Μεσοποταμίαν, λείας τε ἀπήλαυνε, καὶ τὰ ἐπικείμενα στρατόπεδα ταῖς ὄχθαις τῶν ποταμῶν, προασπίζοντά τε τῆς Ῥωμαίων ἀρχῆς, ἐπολιόρκει. φύσει δ' ὢν ἀλαζών, καὶ ταῖς παρ' ἐλπίδας εὐπραγίαις ἐπαιρόμενος, πάντα ῥᾳδίως χειρώσασθαι προσεδόκα. ἦν δὲ αὐτὸν τὰ ἀναπείθοντα 6) οὐ μικρὰ εἰς ἐπιθυμίαν ἀρχῆς μείζονος. πρῶτος γὰρ ἐτόλμησε τῇ Παρθυαίων ἀρχῇ ἐπιθέσθαι, Πέρσαις τε τὴν βασιλείαν ἀνανεώσασθαι. μετὰ γὰρ Δαρεῖον, τὸν ὑπ' Ἀλεξάνδρου τοῦ Μακεδόνος τῆς ἀρχῆς παραλυθέντα, παμπλείστοις ἐν ἔτεσι Μακεδόνες μὲν καὶ οἱ Ἀλεξάνδρου διάδοχοι, τῶν ὑπὸ ταῖς ἀνατολαῖς ἐθνῶν καὶ κατ' Ἀσίαν ἅπασαν, νειμάμενοι κατὰ χώρας, ἐβασίλευσαν. ἐκείνων δὲ πρὸς ἀλλήλους διαφερομένων, πολέμοις τε συνεχέσι τῆς Μακεδόνων δυνάμεως ἐξασθενούσης, πρῶτος Ἀρσάκης λέγεται, τὸ γένος Παρθυαῖος, ἀναπεῖσαι τοὺς ἐπέκεινα Βαρβάρους ἀποστῆναι Μακεδόνων. περιθέμενός τε τὸ διάδημα ἑκόντων Παρθυαίων καὶ τῶν προσχώρων Βαρβάρων, αὐτός τε ἐβασίλευσε, καὶ τοῖς ἐξ ἐκείνου τοῦ γένους ἐπὶ πλεῖστον παρέμενεν ἡ ἀρχή, μέχρις Ἀρταξέρξης ἀποκτείνας, Πέρσαις τὴν ἀρχὴν ἀνεκτήσατο, τά τε γειτ-

---

6) neque parva erant, quae animum illius ad majus concupiscendum regnum inflammabant. —

νιῶντα ἔθνη βάρβαρα χειρωσάμενος, ῥᾳδίως ἤδη καὶ τῇ Ῥωμαίων ἀρχῇ ἐπεβούλευσεν.

3. Ὡς δὲ τῷ Ἀλεξάνδρῳ ἐδηλώθη, διατρίβοντι ἐν τῇ Ῥώμῃ, τὰ κατὰ τὰς ἀνατολὰς ὑπὸ τοῦ Βαρβάρου τολμώμενα, οὐκ ἀνασχετὰ ἡγούμενος, καλούντων δὲ αὐτὸν καὶ τῶν ἐκεῖσε ἡγεμόνων, ἀσχάλλων μὲν καὶ παρὰ γνώμην, ὅμως δ' ἔσχε περὶ ἔξοδον. ἔκ τε οὖν αὐτῆς Ἰταλίας καὶ τῶν ὑπὸ Ῥωμαίοις πάντων ἐθνῶν λογάδες ἐς τὴν στρατιὰν ἠθροίζοντο, ὅσοι σώματος εὐεξίᾳ καὶ ἡλικίας ἀκμῇ εἰς μάχην ἐπιτήδειοι ἐνομίζοντο. κίνησίς τε μεγίστη πᾶσι τῆς ὑπὸ Ῥωμαίοις ἐγένετο δυνάμεως, ἰσοῤῥόπου ἀθροιζομένης πρὸς τὸ ἀγγελλόμενον τῶν ἐπιτρεχόντων Βαρβάρων πλῆθος. ὁ δ' Ἀλέξανδρος, ἀθροίσας τοὺς ἐν Ῥώμῃ στρατιώτας, συνελθεῖν τε πάντας κελεύσας ἐς τὸ σύνηθες [7]) πεδίον, ἐπὶ βήματος ἀνελθών, ἔλεξε τοιάδε.

„Ἐβουλόμην μέν, ὦ ἄνδρες συστρατιῶται, τοὺς συνήθεις πρὸς ὑμᾶς ποιεῖσθαι λόγους, δι' ὧν αὐτός τε ἐκοσμούμην δημηγορῶν, ὑμᾶς τε ἀκούοντας εὔφραινον. εἰρήνης γὰρ πολυετοῦς ἀπολαύσαντες, εἴ τι καινὸν νῦν ἀκούοιτε, ἴσως ἂν ὡς παρ' ἐλπίδα λεχθέντι ἐκπλαγείητε. χρὴ δ' ἄνδρας γενναίους τε καὶ σώφρονας εὔχεσθαι μὲν ὑπάρχειν τὰ βέλτιστα, φέρειν δὲ τὰ προσπίπτοντα. τῶν μὲν γὰρ δι' ἡδονῆς πραττομένων ἡ ἀπόλαυσις γλυκεῖα, τῶν δ' ἐξ ἀνάγκης κατορθουμένων ἔνδοξος ἡ ἀνδρεία. καὶ τὸ μὲν ἄρχειν [8]) ἀδίκων ἔργων οὐκ εὐγνώμονα ἔχει τὴν πρόκλησιν, τὸ δὲ τοὺς ὀχλοῦντας ἀποσείεσθαι ἐκ [9]) τε τῆς ἀγαθῆς συνειδήσεως ἔχει τὸ θαῤῥαλέον, καὶ ἐκ τοῦ μὴ ἀδικεῖν, ἀλλ' ἀμύνεσθαι, ὑπάρχει τὸ εὔελπι. Ἀρταξέρξης, ἀνὴρ Πέρσης, τὸν ἑαυτοῦ δεσπότην Ἀρτάβανον ἀποκτείνας, τήν τε ἀρχὴν εἰς Πέρσας μεταστήσας, ἀλλὰ καὶ τῶν ὑμετέρων ὅπλων καταθαῤῥήσας, καὶ τῆς Ῥωμαίων δόξης καταφρονήσας, πειρᾶται κατατρέχειν καὶ λυμαίνεσθαι τὰ τῆς ἡμετέρας ἀρχῆς κτήματα. τοῦτον ἐπειράθην τὸ μὲν πρῶτον γράμμασι καὶ πειθοῖ παῦσαι τῆς ἀπλήστου μανίας καὶ τῆς ἀλλοτρίων ἐπιθυμίας· ὁ δέ, βαρβάρῳ φερόμενος ἀλαζονείᾳ, οὔτε μένειν οἴκοι βούλεται, προκαλεῖταί τε ἡμᾶς εἰς μάχην. μὴ δὴ μέλλωμεν, μηδὲ ὀκνῶμεν· ἀλλ' οἱ μὲν πρεσβύτεροι ὑμῶν ὑπομνήσατε ἑαυτοὺς τροπαίων, ἃ μετὰ Σεβήρου καὶ Ἀντωνίνου,

---

7) auf das Marsfeld. — 8) anfangen. d. h. Ungerechtigkeiten geben einen schlechten Vorwand zum Kriege. — 9) wegen. —

τοῦ ἐμοῦ πατρὸς, ἠγείρατε πολλάκις κατὰ Βαρβάρων· οἱ δ᾽ ἐν ἀκμῇ ὄντες, δόξης καὶ κλέους ἐπιθυμήσατε, δείξαντες ὅτι ἄρα καὶ εἰρήνην ἄγειν πρᾴως καὶ μετ᾽ αἰδοῦς ἐπίστασθε, καὶ τὰ πολεμικὰ, τῆς χρείας ἀπαιτούσης, γενναίως κατορθοῦτε. τὸ δὲ Βάρβαρον πρὸς μὲν τὰ ὑπείκοντα καὶ ὀκνοῦντα θαρσύνεται, τῷ δ᾽ ἀντιπίπτοντι οὐκέθ᾽ ὁμοίως ἀντέχει· ἐπεὶ μὴ ἐκ συστάσεως αὐτοῖς ἡ μάχη κατὰ τῶν ἀντιπάλων ὑπισχνεῖται τὸ εὔελπι, ἀλλ᾽ ἐξ ἐπιδρομῆς ἢ φυγῆς κερδαίνειν 10) νομίζουσιν, ὅπερ ἂν σχῶσι δι᾽ ἁρπαγῆς· ἡμῖν δὲ καὶ τὸ εὔτακτον ἅμα τῷ κοσμίῳ ὑπάρχει, καὶ νικᾷν αὐτοὺς ἀεὶ δεδιδάγμεθα.“

4. Τοιαῦτά τινα εἰπόντα τὸν Ἀλέξανδρον πᾶς ὁ στρατὸς ἀνευφήμησε, προθυμίαν τε πᾶσαν ἐς τὸ πολεμεῖν ὑπισχνεῖτο. ὁ δ᾽ ἐπιδοὺς αὐτοῖς χρήματα μεγαλοφρόνως, εὐτρεπίζεσθαι τὰ πρὸς τὴν ἔξοδον ἐκέλευσε. κατελθών τε εἰς τὴν σύγκλητον Βουλὴν, καὶ τοῖς προειρημένοις ὅμοια διαλεχθείς, ἐπήγγειλε τὴν ἔξοδον. καταλαβούσης δὲ τῆς ὡρισμένης ἡμέρας, θύσας τὰς ἐπὶ ταῖς ἐξόδοις νενομισμένας ἱερουργίας, παραπεμφθείς τε ὑπὸ τῆς Συγκλήτου καὶ παντὸς τοῦ δήμου, τῆς Ῥώμης ἀπῆρεν, ἐπιστρεφόμενος ἀεὶ πρὸς τὴν πόλιν, καὶ δακρύων. ἀλλ᾽ οὐδὲ τῶν δημοτῶν ἦν τις, ὃς ἀδακρυτὶ παρέπεμπεν αὐτόν. πόθον γὰρ ἑαυτοῦ τῷ πλήθει ἐμπεποιήκει, ἀνατραφείς τε ὑπ᾽ αὐτοῖς καὶ μετρίως ἄρξας τοσούτων ἐτῶν. μετὰ πολλῆς δὲ σπουδῆς ποιησάμενος τὴν πορείαν, τά τε Ἰλλυρικὰ ἔθνη καὶ στρατόπεδα ἐπελθὼν, πλείστην τε δύναμιν κἀκεῖθεν ἀθροίσας, εἰς τὴν Ἀντιόχειαν ἀφίκετο. ἐκεῖ δὲ γενόμενος, τὰ πρὸς τὸν πόλεμον ἐξήρτυε, γυμνάζων τε τοὺς στρατιώτας καὶ τὰ πολεμικὰ ἀσκῶν.

Ἔδοξε δὲ αὐτῷ πρεσβείαν πάλιν πέμψαι πρὸς τὸν Πέρσην, καὶ περὶ εἰρήνης καὶ φιλίας διαλέγεσθαι. ἤλπιζε γὰρ αὐτὸν πείσειν ἢ φοβήσειν, αὐτὸς παρών. ὁ δὲ Βάρβαρος τοὺς μὲν πρέσβεις τῶν Ῥωμαίων ἀπέπεμψεν ἀπράκτους, αὐτὸς δὲ ἐπιλεξάμενος τετρακοσίους Περσῶν τοὺς μεγίστους, ἐσθῆσί τε πολυτελέσι καὶ χρυσῷ κεκοσμημένους, ἵππων τε καὶ τόξων παρασκευῇ, πρέσβεις ἔπεμψε δὴ πρὸς τὸν Ἀλέξανδρον, καταπλήξειν οἰηθεὶς τοὺς Ῥωμαίους τῇ τε ὄψει καὶ τῷ σχήματι τῶν Περσῶν. ἔλεγε δ᾽ ἡ πρεσβεία, ὅτι δὴ κελεύει μέγας βασιλεὺς Ἀρταξέρξης ἀφίστασθαι Ῥωμαίους τε καὶ τὸν ἄρχοντα αὐτῶν Συρίας τε

---

10) sie rechnen sich das zum Siege an, was sie geraubt haben. —

ἀπάσης, Ἀσίας τε τῆς Εὐρώπῃ ἀντικειμένης, ἐᾶσαι δὲ ἄρχειν Πέρσας μέχρις Ἰωνίας τε καὶ Καρίας, καὶ ὅσα Αἰγαίῳ καὶ Πόντῳ ἔθνη διαιρεῖται· εἶναι γὰρ αὐτὰ Περσῶν προγονικὰ κτήματα. τοιαῦτά τινα τῶν τετρακοσίων πρέσβεων ἀπαγγειλάντων, κελεύει ὁ Ἀλέξανδρος τοὺς τετρακοσίους συλληφθῆναι· καὶ παρελόμενος πάσης τῆς περικειμένης, εἰς Φρυγίαν ἐξέπεμψε, δοὺς κώμας τε οἰκεῖν, καὶ χώραν [11]) γεωργεῖν· τοσαύτην αὐτοῖς ἐπιθεὶς τιμωρίαν, ὡς οἴκαδε μὴ ἐπανελθεῖν. ἀποκτεῖναι γὰρ ἀνόσιον καὶ οὐ πάνυ ἀνδρεῖον ἡγήσατο, μήτε μαχομένους, καὶ τὰ κελευσθέντα ὑπὸ τοῦ ἑαυτῶν δεσπότου ἀγγείλαντας.

5. Τούτων δὴ οὕτω πραττομένων, παρασκευαζομένου τε τοῦ Ἀλεξάνδρου καὶ διαβῆναι τοὺς ποταμούς, εἴς τε τὴν βάρβαρον γῆν τὸν στρατὸν διαγαγεῖν, ἐγένοντό τινες καὶ ἀποστάσεις στρατιωτῶν, ἀπό τε Αἰγύπτου ἐληλυθότων, ἀλλὰ μὴν καὶ τῶν κατὰ Συρίαν, καινοτομῆσαί τινα ἐπιχειρησάντων περὶ τὴν βασιλείαν· οἳ ταχέως φωραθέντες, ἐκολάσθησαν. ἀλλὰ καὶ τινὰ τῶν στρατοπέδων μετέστησεν ὁ Ἀλέξανδρος εἰς ἕτερα χωρία, ἐπιτηδειότερα δοκοῦντα εἶναι πρὸς τὸ κωλύειν τὰς τῶν Βαρβάρων ἐπιδρομάς. τούτων δὴ αὐτῷ διοικηθέντων, τῆς τε στρατιᾶς παμπληθοῦς συνειλεγμένης, ὅτε δὴ ἀντίπαλα καὶ ἰσόῤῥοπα ᾠήθη εἶναι τὰ ἑαυτοῦ στρατεύματα τῷ πλήθει τῶν Βαρβάρων, σκεψάμενος σὺν τοῖς φίλοις, ἔνειμε τὸ στρατιωτικὸν εἰς τρεῖς μοίρας· καὶ τὴν μὲν μίαν ἐκέλευσε, πρὸς τὰ ἀρκτῷα μέρη ἀφορῶσαν, δι' Ἀρμενίας ἐπελθοῦσαν, φιλίου Ῥωμαίοις δοκούσης, κατατρέχειν τὴν Μήδων χώραν· τὴν δὲ ἑτέραν ἔπεμψε πρὸς τὰ ἑῷα μέρη τῆς βαρβάρου γῆς βλέπουσαν, ἔνθα συῤῥέοντας τὸν Τίγρητα καὶ τὸν Εὐφράτην ἕλη πυκνότατα ὑποδέχεσθαι λέγουσι, καὶ λανθάνειν ποταμῶν ἐκείνων μόνων διὰ τοῦτο τὰς ἐκβολάς· τὴν δὲ τρίτην μοῖραν καὶ γενναιοτάτην τοῦ στρατοῦ αὐτὸς ἔχων, ὑπέσχετο ἐπάξειν τοῖς Βαρβάροις κατὰ μέσην τὴν πορείαν. οὕτω γὰρ ᾤετο διαφόροις ἐφόδοις ἀφυλάκτως τε καὶ ἀπροόπτως αὐτοῖς ἐπελεύσεσθαι, καὶ τὸ πλῆθος τῶν Περσῶν ἀεὶ πρὸς τοὺς ἐπιόντας διαιρούμενον, ἀσθενέστερόν τε ἔσεσθαι, καὶ ἀτακτότερον μαχεῖσθαι. οὐ γὰρ δὴ μισθοφόροις χρῶνται στρατιώταις οἱ Βάρβαροι, ὥσπερ Ῥωμαῖοι, οὐδὲ στρατόπεδα ἔχουσι συνεστῶτα καὶ μένοντα, πολέμου τέχναις ἐγγεγυμνασμένα· ἀλλὰ πᾶν τὸ πλῆθος τῶν ἀνδρῶν, ἔσθ' ὅπῃ καὶ τῶν γυναικῶν, ἐπὰν κελεύσῃ βασιλεύς, ἀθροίζεται. διαλυθέντος δὲ τοῦ πολέμου, ἕκαστος εἰς τὰ ἑαυτοῦ

---

11) cf. Vig. p. 161. b. —

ἐπανέρχεται, τοσοῦτον ἀποκερδήσας, ὅσα ἂν ἐξ ἁρπαγῆς αὐτῷ περιγένηται. τόξοις τε καὶ ἵπποις οὐκ εἰς τὸ πολεμεῖν μόνον χρῶνται, ὥςπερ Ῥωμαῖοι, ἀλλ' ἐκ παίδων σὺν αὐτοῖς ἀνατρέφονται, καὶ θηρῶντες διαιτῶνται· οὔτε τὰς φαρέτρας ποτὲ ἀποτιθέμενοι, οὔτε τῶν ἵππων ἀποβαίνοντες, ἀεὶ δὲ αὐτοῖς χρώμενοι ἢ κατὰ πολεμίων ἢ κατὰ θηρίων.

Ἀλέξανδρος μὲν οὖν, ὡς ᾤετο, ἄριστα βεβούλευτο· ἔσφηλε δὲ αὐτοῦ τὴν γνώμην ἡ τύχη. τὸ μὲν γὰρ πεμφθὲν δι' Ἀρμενίας στρατιωτικόν, μόλις καὶ χαλεπῶς ὑπερβαλὸν τὰ τῆς χώρας ὄρη, τραχύτατά τε ὄντα καὶ κρημνωδέστατα, (πλὴν ἔτι θέρους ὄντος ἀνεκτὴν εἶχε τὴν πορείαν), ἐμβαλὸν εἰς τὴν Μήδων χώραν, ἐπόρθει τε αὐτήν, καὶ πολλὰς ἐνέπρησε κώμας, λείαν τε ἀπήγαγεν. ὁ δὲ Πέρσης μαθών, ἐπήμυνε κατὰ δύναμιν· ἀπείργειν δὲ τοὺς Ῥωμαίους οὐ πάνυ τι ἐδύνατο. τραχεῖα γὰρ οὖσα ἡ χώρα τοῖς μὲν πεζοῖς καὶ τὴν βάσιν εὐπαγῆ καὶ τὴν πορείαν εὐμαρῆ παρεῖχεν· ἡ δ' ἵππος τῶν Βαρβάρων, ὑπὸ τῆς τῶν ὀρῶν τραχύτητος, ὁμοῦ καὶ πρὸς δρόμον ἐπείχετο, καὶ καθιππεύειν ἢ ἐπιέναι ἐκωλύετο. ἧκον δέ τινες ἀγγέλλοντες τῷ Πέρσῃ, ὡς ἄρα φαίνοιτο Ῥωμαίων στρατὸς ἕτερος ἐν τοῖς ἐῴοις μέρεσι Παρθυαίων, τά τε πεδία κατατρέχουσι. διόπερ φοβηθεὶς ἐκεῖνος, μὴ τὰ ἐν Πάρθοις ῥᾳδίως λυμηνάμενοι, εἰς Πέρσας ἐμβάλωσι, καταλιπὼν τινὰ δύναμιν, ὅσην αὐτάρκη ᾤετο ῥύεσθαι Μηδίαν, αὐτὸς σὺν παντὶ τῷ στρατῷ εἰς τὰ ἑῷα μέρη ἠπείγετο. ἡ δὲ τῶν Ῥωμαίων στρατιὰ τὴν πορείαν ἀμελέστερον ἐποιεῖτο μήτε τινὸς φαινομένου, μήτε ἀνθεστῶτος· ἤλπιζέ τε τὸν Ἀλέξανδρον σὺν τρίτῃ μοίρᾳ, γενναιοτάτῃ οὔσῃ καὶ μεγίστῃ, εἰς μέσους ἐμβεβληκέναι τοὺς Βαρβάρους· κἀκείνους [12]), ἀνθελκομένους ἀεὶ πρὸς τὸ ἐνοχλοῦν, σχολαιτέραν αὐτοῖς καὶ ἀδεεστέραν παρέξειν τὴν ἔφοδον. προείρητο γὰρ πᾶσι τοῖς στρατοῖς ὑπερτρέχειν, καὶ τόπος ὥριστο εἰς ὃν αὐτοὺς συνελθεῖν ἔδει,' πάντα τὰ ἐμπίπτοντα καὶ ἐν μέσῳ χειρουμένους. ἔσφηλε δὲ αὐτοὺς ὁ Ἀλέξανδρος, μήτε εἰςαγαγὼν τὸν στρατόν, μήτε εἰςελθών, ἢ διὰ δέος, ἵνα μὴ δὴ αὐτὸς κινδυνεύοι ψυχῇ καὶ σώματι ὑπὲρ τῆς Ῥωμαίων ἀρχῆς, ἢ τῆς μητρὸς ἐπισχούσης γυναικείᾳ δειλίᾳ καὶ ὑπερβαλλούσῃ φιλοτεκνίᾳ. ἤμβλυνε γὰρ αὐτοῦ τὰς πρὸς ἀνδρείαν ὁρμάς, πείθουσα δεῖν ἄλλους ὑπὲρ αὐτοῦ κινδυνεύειν,

---

12) d. h. das Heer hoffte, daß die Perser, weil sie gehindert wären, sie zu beunruhigen, ihnen . . . gewährten ꝛc. —

ἀλλὰ μὴ αὐτὸν παρατάττεσθαι· ὅπερ τὸν εἰςελθόντα Ῥωμαίων στρατὸν ἀπώλεσεν. ὁ γὰρ Πέρσης σὺν πάσῃ τῇ δυνάμει ἐπελθών, οὐ προςδοκοῦντος τοῦ στρατοῦ, ἐκπεριελθὼν, καὶ ὥςπερ σαγηνεύσας, πανταχόθεν τε τοξεύων, διέφθειρε τὴν δύναμιν τῶν Ῥωμαίων, ὀλίγων τε πρὸς πολλοὺς ἀνθίστασθαι μὴ δυναμένων, καὶ ἀεὶ τὰ γυμνὰ ἑαυτῶν, εἰς ἃ ἐτοξεύοντο, φραττόντων τοῖς ὅπλοις· (ῥύεσθαι γὰρ αὐτοῖς τὰ σώματα, οὐ μάχεσθαι, ἀγαπητὸν ἦν)· ἔςτε δὴ πάντες ἐς τὸ αὐτὸ συναλισθέντες, καὶ τῇ τῶν ἀσπίδων προβολῇ ὥςπερ τειχίσαντες, ἀπεμάχοντο ἐν σχήματι πολιορκίας, βαλλόμενοι πανταχόθεν καὶ τετρωσκόμενοι, ἀντισχόντες, εἰς ὅσον [13]) ἐνεδέχετο, ἀνδρείως, τὸ τελευταῖον πάντες διεφθάρησαν. μεγίστη τε αὕτη συμφορὰ, καὶ οὐ ῥᾳδίως μνημονευθεῖσα, Ῥωμαίους ἐπέσχε, δυνάμεως μεγίστης διαφθαρείσης, γνώμῃ καὶ ῥώμῃ μηδεμιᾶς τῶν ἀρχαίων ἀποδεούσης· τόν τε Πέρσην εἰς ἐλπίδα μειζόνων πραγμάτων ἐτύφωσε τηλικούτων ἔργων εὐπραγία.

6. Ὡς δὲ ταῦτα τῷ Ἀλεξάνδρῳ ἐδηλώθη, χαλεπῶς νοσοῦντι, εἴτε διὰ δυςθυμίαν, εἴτε διὰ τὴν τοῦ ἀέρος ἀήθειαν, αὐτός τε δυςφόρως ἤνεγκε, καὶ ὁ λοιπὸς στρατὸς ἠγανάκτησε πρὸς τὸν Ἀλέξανδρον, καὶ ἐχαλέπαινεν, ὅτι δὴ ψευσαμένου αὐτοῦ, καὶ μὴ τηρήσαντος τὰ συνθήματα, προδοθείη ὁ εἰςελθὼν στρατός. πλὴν ὁ Ἀλέξανδρος, μήτε τὴν νόσον φέρων καὶ τὸ πνιγῶδες τοῦ ἀέρος, τοῦ τε στρατοῦ παντὸς νοσοῦντος, καὶ μάλιστα τῶν Ἰλλυρικῶν στρατιωτῶν, οἳ ὑγρῷ καὶ χειμερίῳ ἀέρι ἐνειθισμένοι, τροφάς τε πλείονας συνήθως εἰςφερόμενοι, χαλεπῶς νοσοῦντες διεφθείροντο, ἐπανελθεῖν τε εἰς τὴν Ἀντιόχειαν ἐβουλεύσατο, καὶ πέμψας, τὸν ἐν Μηδίᾳ στρατὸν ἐπανελθεῖν ἐκέλευσεν. ἐκεῖνος μὲν ὁ στρατὸς ἐπανιὼν, πλεῖστος ἐν τοῖς ὄρεσι διεφθάρη· καὶ ἠκρωτηριάσθησαν οὐκ ὀλίγοι ἐν δυςχειμέρῳ χώρᾳ, ὡς ὀλίγους πάνυ ἐκ πολλῶν ἐπανελθεῖν. τὸ δὲ σὺν αὐτῷ πλῆθος ὁ Ἀλέξανδρος εἰς τὴν Ἀντιόχειαν ἐπανήγαγε, πολλῶν καὶ ἐξ ἐκείνης τῆς μοίρας ἀπολωλότων· ὡς μεγίστην ἐνεγκεῖν δυςθυμίαν τῷ στρατῷ, καὶ Ἀλεξάνδρῳ ἀδοξίαν, σφαλέντι καὶ γνώμῃ καὶ τύχῃ, καὶ τῶν τριῶν μοιρῶν τοῦ στρατοῦ, ὧν ἔνειμε, τὸ πλεῖστον ἀποβαλόντι διαφόροις συμφοραῖς, νόσῳ, πολέμῳ, κρύει.

Γενόμενος δὲ ἐν τῇ Ἀντιοχείᾳ ὁ Ἀλέξανδρος, αὐτός τε

---

13) cum fortiter, quantum, vel quamdiu licuit, restitissent, tandem caesi sunt universi. Vig. p. 596. XV. —

ῥᾳδίως ἐπεῤῥώσθη τῷ εὐψυχεῖ καὶ ἐνύδρῳ τῆς πόλεως, μετὰ τὸν ἐν Μεσοποταμίᾳ ξηρὸν αὐχμόν· τούς τε στρατιώτας ἀνεκτᾶτο, καὶ ἐφ' οἷς ἐλελύπηντο, παρεμυθεῖτο μεγαλοδωρίᾳ χρημάτων. τοῦτο γὰρ μόνον εἰς εὐνοίας ἀνάκτησιν στρατιωτῶν ἐνόμιζε φάρμακον. δύναμίν τε ἤθροιζε καὶ παρεσκεύαζεν, ὡς δὴ πάλιν ἐπάξων Πέρσαις, εἰ ἐνοχλοῖεν καὶ μὴ ἡσυχάζοιεν. ἀπηγγέλλετο δὲ καὶ ὁ Πέρσης λύσας τὴν δύναμιν, καὶ ἑκάστους εἰς τὰ ἑαυτῶν ἀποπέμψας. εἰ γὰρ καὶ ἐκ τοῦ κρείττονος ὑπέρτεροι ἐδόκουν γεγενῆσθαι οἱ Βάρβαροι, πλὴν ὅμως ἐτετρύχωντο ταῖς τε κατὰ Μηδίαν πολλάκις γενομέναις συμβολαῖς, τῇ τε ἐν Παρθίᾳ μάχῃ, πολλῶν μὲν πεσόντων, παμπλείστων δὲ τετρωμένων. οὐ γὰρ ἀνάνδρως οἱ Ῥωμαῖοι ἡττήθησαν, ἀλλὰ καὶ αὐτοὶ τοὺς πολεμίους ἔσθ' ὅπῃ κακώσαντες· παρὰ τοῦτο [14]) δὲ ἀπρλόμενοι, παρ' ὅσον πλήθει ἐλάττους εὑρέθησαν. ὡς, σχεδὸν ἰσαρίθμου γενομένου τοῦ ἑκατέρωθεν πεσόντος στρατοῦ, τὸ περιλειφθὲν τῶν Βαρβάρων πλήθει, ἀλλ' οὐ δυνάμει, δοκεῖ νενικηκέναι. δεῖγμα δὲ τοῦτο οὐ μικρὸν τῆς [τῶν] Βαρβάρων κακώσεως· ἐτῶν γοῦν τριῶν ἢ τεττάρων ἡσύχασαν, οὐδ' ἐν ὅπλοις ἐγένοντο. ἅπερ μανθάνων ὁ Ἀλέξανδρος, καὶ οὗτος ἐν τῇ Ἀντιοχείᾳ διέτριβεν· εὐθυμότερος δὲ καὶ ἀδεέστερος γενόμενος, ἀνειμένης αὐτῷ τῆς περὶ τὰ πολεμικὰ φροντίδος, ταῖς τῆς πόλεως ἐσχόλαζε τρυφαῖς.

7. Οἰομένου δὲ αὐτοῦ τὰ ἐν Πέρσαις ἐν εἰρήνῃ μὲν συγκείμενα ἡσυχάζειν, ἔχειν δὲ ἀνακωχὴν καὶ μέλλησιν τῷ Βαρβάρῳ πρὸς τὸ πάλιν ἐπάγειν τὸν στρατόν, ὃς ἅπαξ διαλυθεὶς οὐ ῥᾳδίως ἠθροίζετο, αἰφνιδίως ἄγγελοί τε καὶ γράμματα ἐτάραξε τὸν Ἀλέξανδρον, καὶ εἰς μείζονα φροντίδα ἐνέβαλεν, ἐπιστειλάντων αὐτῷ τῶν ἐμπεπιστευμένων τὴν Ἰλλυρίδος ἡγεμονίαν· ὅτι ἄρα Γερμανοὶ Ῥῆνον καὶ Ἴστρον διαβαίνοντες, τὴν Ῥωμαίων πορθοῦσιν ἀρχήν, καὶ τὰ ἐπὶ ταῖς ὄχθαις στρατόπεδα ἐπικείμενα, πόλεις τε καὶ κώμας πολλῇ δυνάμει κατατρέχουσιν· εἴη τε οὐκ ἐν ὀλίγῳ κινδύνῳ τὰ Ἰλλυρικὰ ἔθνη, ὁμοροῦντα καὶ γειτνιῶντα Ἰταλίᾳ. δεῖσθαι τοίνυν τῆς αὐτοῦ παρουσίας, καὶ τοῦ στρατοῦ παντὸς ὃς ἦν σὺν αὐτῷ. δηλωθέντα δὴ ταῦτα τόν τε Ἀλέξανδρον ἐτάραξε, καὶ τοὺς ἐκ τοῦ Ἰλλυρικοῦ στρατιώτας ἐλύπησε, διπλῇ δοκοῦντας κεχρῆσθαι συμφορᾷ, ἔκ τε ὧν πεπόνθεσαν Πέρσαις μαχόμενοι, ἔκ τε ὧν ἐπυνθάνοντο τοὺς οἰκείους ἕκαστοι

---

14) ob id solum, quod numero inferiores inventi sunt, pereuntes. Vig. p. 645, not. 23. —

ὑπὸ Γερμανῶν ἀπολωλότας. ἠγανάκτουν οὖν, καὶ τὸν Ἀλέξανδρον εἶχον ἐν αἰτίᾳ, ὡς τὰ ὑπὸ ταῖς ἀνατολαῖς δι' ἀμέλειαν ἢ δειλίαν προδεδωκότα, πρός τε τὰ ἀρκτῷα μέλλοντα καὶ ὀκνοῦντα. ἦν δὲ καὶ αὐτῷ δέος τῷ Ἀλεξάνδρῳ τοῖς τε συνοῦσι φίλοις ἤδη καὶ περὶ αὐτῆς Ἰταλίας. οὐ γὰρ ὅμοιον ἡγοῦντο τὸν ἐκ Περσῶν κίνδυνον, οἷον ἐκ Γερμανῶν. οἱ μὲν γὰρ ὑπὸ ταῖς ἀνατολαῖς κατοικοῦντες, μακρᾷ γῇ καὶ θαλάττῃ πολλῇ διῃρημένοι, τὴν Ἰταλῶν χώραν μόλις ἀκούουσι· τὰ Ἰλλυρικὰ δὲ ἔθνη, στενὰ ὄντα καὶ οὐ πολλὴν ἔχοντα τὴν ὑπὸ Ῥωμαίοις [15]) γῆν, παρὰ τοσοῦτον [16]) ὁμόρους καὶ γείτονας ποιεῖ Γερμανοὺς Ἰταλιώταις. ἐπαγγέλλει δὴ ἄκων μὲν καὶ ἀσχάλλων τὴν ἔξοδον, πλὴν τῆς ἀνάγκης αὐτὸν καλούσης. καταλιπὼν τε δύναμιν ὅσην αὐτάρκη ᾤετο ῥύεσθαι τὰς Ῥωμαίων ὄχθας, τά τε στρατόπεδα καὶ τὰ φρούρια ἐπιμελέστερον τειχίσας, καὶ πληρώσας [17]) ἕκαστα τοῦ ὡρισμένου στρατοῦ, αὐτὸς εἰς Γερμανοὺς ἠπείγετο ἅμα τῷ λοιπῷ πλήθει. ἀνύσας δὲ τὴν ὁδὸν μετὰ πολλῆς σπουδῆς, ἐπέστη ταῖς τοῦ Ῥήνου ὄχθαις, καὶ τὰ πρὸς τὸν Γερμανικὸν πόλεμον παρεσκευάζετο.

Ὁ δὲ Ἀλέξανδρος Μαυρουσίους τε πλείστους καὶ τοξοτῶν ἀριθμὸν πολὺν ἐπαγόμενος ἀπὸ τῆς ἀνατολῆς, ἔκ τε τῆς Ὀσροηνῶν χώρας, καὶ εἴ τινες Παρθυαίων αὐτόμολοι, ἢ χρήμασιν ἀναπεισθέντες, ἠκολουθήκεσαν αὐτῷ βοηθήσοντες, ἐξήρτυε δὴ Γερμανοῖς ἀντιτάξων. μάλιστα γὰρ τοιοῦτος στρατὸς ὀχληρὸς ἐκείνοις γίγνεται· τῶν τε Μαυρουσίων πόῤῥωθεν ἀκοντιζόντων, καὶ τὰς ἐπιδρομὰς τάς τε ἀναχωρήσεις κούφως ποιουμένων, τῶν τε τοξοτῶν ἐς γυμνὰς τὰς κεφαλὰς αὐτῶν καὶ σώματα ἐπιμήκη ῥᾷστα καὶ πόῤῥωθεν κατὰ σκοποῦ [18]) τοξευόντων. Ἀλέξανδρος μὲν ἐν τούτοις ἦν· πλὴν ἔδοξεν αὐτῷ πρεσβείαν πέμψαι πρὸς αὐτούς, καὶ περὶ εἰρήνης διαλέγεσθαι. πάντα τε ὑπισχνεῖτο παρέξειν ὅσων δέονται, καὶ χρημάτων ἀφειδῶς ἔχειν. τούτῳ γὰρ μάλιστα Γερμανοὶ πείθονται, φιλάργυροί τε ὄντες, καὶ τὴν

---

15) die nur einen schmalen unter römischer Herrschaft gelegenen Strich Landes besitzen, und die einzige Grenzscheide zwischen Germanien und Italien machen. — 16) At vero Illyricae gentes, quae quidem et perangustae sunt, et parum admodum soli Romanis subditi possident, tantulo discrimine (vel, solae) Germanos ab Italis separant. Vig. p. 648. — 17) praesidio firmatis. — 18) Sagittariis procera corpora eminus, quasi scopum aliquem, petentibus. Vig. p. 629. —

εἰρήνην ἀεὶ πρὸς Ῥωμαίους χρυσίου καπηλεύοντες· ὅθεν ὁ Ἀλέξανδρος ἐπειρᾶτο ὠνήσασθαι μᾶλλον τὰς πρὸς αὐτοὺς σπονδάς, ἢ διὰ πολέμου κινδυνεύειν.

8. Οἱ μέντοι στρατιῶται χαλεπῶς ἔφερον, διατριβῆς τε ματαίας ἐγγινομένης, καὶ μηδέν τι γενναῖον ἢ πρόθυμον εἰς τὸ πολεμεῖν παρέχοντος τοῦ Ἀλεξάνδρου, ἀλλ' ἡνιοχείαις καὶ τρυφαῖς προσέχοντος, δέον ἐπεξελθεῖν καὶ τιμωρήσασθαι Γερμανοὺς ἐπὶ τοῖς προτετολμημένοις. ἦν δέ τις ἐν τῷ στρατῷ, Μαξιμῖνος ὄνομα, τὸ μὲν γένος τῶν ἐνδοτάτω Θρᾳκῶν καὶ μιξοβαρβάρων, ἀπό τινος κώμης, ὡς ἐλέγετο· πρότερον μὲν ἐν παιδὶ ποιμαίνων, ἐν ἀκμῇ δὲ τῆς ἡλικίας γενόμενος, διὰ μέγεθος καὶ ἰσχὺν σώματος εἰς τοὺς ἱππεύοντας στρατιώτας καταταγείς· εἶτα κατ' ὀλίγον αὐτὸν χειραγωγούσης τῆς τύχης, ἐλθὼν διὰ πάσης τάξεως στρατιωτικῆς, ὡς στρατοπέδων τε ἐπιμέλειαν τῶν ἐθνῶν τε ἀρχὰς [19]) πιστευθῆναι. τὸν δὴ Μαξιμῖνον τοῦτον διὰ τὴν προειρημένην στρατιωτικὴν ἐμπειρίαν ὁ Ἀλέξανδρος ἐπέστησε πάσῃ τῇ τοῦ στρατοῦ νεολαίᾳ, ὡς ἀσκοίη τε αὐτοὺς τὰ στρατιωτικά, καὶ ἐς τὸ πολεμεῖν ἐπιτηδείους παρασκευάζοι. ὁ δέ, μετὰ πάσης ἐπιμελείας ποιούμενος τὰ ἐγκεχειρισμένα, εὔνοιαν πολλὴν παρὰ τῶν στρατιωτῶν ἐκτήσατο, οὐ μόνον διδάσκων αὐτοὺς τὰ ποιητέα, ἀλλὰ καὶ τοῖς ἔργοις πάντων προηγούμενος· ὡς μὴ μαθητὰς εἶναι μόνον, ἀλλὰ ζηλωτὰς καὶ μιμητὰς τῆς ἐκείνου ἀνδρείας. ἔτι τε καὶ δώροις αὐτοὺς καὶ παντοδαπαῖς τιμαῖς ᾠκειώσατο. ὅθεν οἱ νεανίαι, ἐν οἷς ἦν τὸ πολὺ πλῆθος Παιόνων μάλιστα, τῇ μὲν ἀνδρείᾳ τοῦ Μαξιμίνου ἔχαιρον, τὸν δὲ Ἀλέξανδρον ἐπέσκωπτον, ὡς ὑπὸ τῆς τε μητρὸς ἀρχόμενον, καὶ διοικουμένων τῶν πραγμάτων ὑπ' ἐξουσίᾳ τε καὶ γνώμῃ γυναικός, ῥαθύμως τε καὶ ἀνάνδρως τοῖς πολεμικοῖς προσφερομένου ἐκείνου. ὑπεμίμνησκον δὲ ἀλλήλους τῶν τε ὑπὸ ταῖς ἀνατολαῖς διὰ μέλλησιν αὐτοῦ πταισμάτων, καὶ ὅτι μηδὲν ἀνδρεῖον μηδὲ νεανικὸν παρέχοιτο, εἰς Γερμανοὺς ἐλθών. ὄντες οὖν καὶ ἄλλως πρὸς τὸ καινοτομεῖν ἐπιτήδειοι, καὶ τὸ μὲν παρὸν τῆς ἀρχῆς βαρὺ διὰ μῆκος ἐξουσίας ἡγούμενοι, ἀκερδές τε ἤδη, πάσης προανηλωμένης φιλοτιμίας· τὸ δὲ μέλλον καὶ προσιὸν [20]) ἔς τε τὸ κερδαλέον αὐτοῖς εὔελπι, καὶ τῷ κτωμένῳ [21]) παρὰ προσδοκίαν τίμιόν τε καὶ περισπούδαστον· ἐβουλεύσαντο ἀποσκευάσασθαι μὲν τὸν Ἀλέξανδρον, ἀνειπεῖν δὲ αὐτοκράτορα καὶ Σεβαστὸν τὸν Μαξιμῖνον, συστρατιώτην τε αὐτῶν ὄντα καὶ σύσκηνον,

---

19) Provinciarum praeposituræ. — 20) sc. τῆς ἀρχῆς. — 21) d. h. dem neuen Regenten, der es unverhofft geworden. —

ἔς τε τὸν παρόντα πόλεμον δι᾽ ἐμπειρίαν καὶ ἀνδρείαν ἐπιτήδειον δοκοῦντα. ἀθροισθέντες οὖν εἰς τὸ πεδίον ὡπλισμένοι, ὡς δὴ ἐπὶ τὰ συνήθη γυμνάσια προελθόντα, καὶ ἐπιστάντα αὐτοῖς τὸν Μαξιμῖνον, (εἴτε ἀγνοοῦντα τὸ πραττόμενον, εἴτε καὶ λάθρα τοῦτο προκατασκευάσαντα), πορφύραν ἐπιβαλόντες βασιλικὴν, αὐτοκράτορα ἀναγορεύουσιν. ὁ δὲ τὰ μὲν πρῶτα παρῃτεῖτο, καὶ τὴν πορφύραν ἀπεῤῥίπτει· ὡς δὲ ἐνέκειντο ξιφήρεις, ἀποκτενεῖν ἀπειλοῦντες, τοῦ παρόντος κινδύνου τὸ μέλλον [22] προελόμενος, ἀνεδέξατο τὴν τιμὴν, πολλάκις αὐτῷ πρότερον, ὡς ἔλεγε, χρησμῶν καὶ ὀνειράτων τὴν τοσαύτην τύχην προειρηκότων· εἰπὼν πρὸς τοὺς στρατιώτας, ὅτι ἄκων μὲν καὶ μὴ βουλόμενος ἀναδέχεται, πειθόμενος τῇ ἐκείνων βουλήσει· παραγγέλλει δ᾽ αὐτοῖς ἔργῳ βεβαιῶσαι τὰ δόξαντα, ἀραμένους τε τὰ ὅπλα, σπεύδειν ἐπιστῆναι τῷ Ἀλεξάνδρῳ ἀγνοοῦντι, τὴν φήμην φθάσαντας· ἵν᾽ ἐκπλήξαντες τοὺς συνόντας ἐκείνῳ στρατιώτας καὶ φρουροὺς τοῦ σώματος, ἢ πείσαιεν ὁμογνωμονῆσαι, ἢ ῥᾷστα βιάσαιντο ἀπαρασκεύους τῷ μηδὲν προςδοκᾷν.

Ὡς δ᾽ αὐτοὺς εἰς εὔνοιαν καὶ προθυμίαν πάνυ προεκαλέσατο, τά τε σιτηρέσια ἐπεδιπλασίασε, νομάς τε καὶ δόσεις μεγίστας ὑπέσχετο, τιμωρίας τε καὶ κηλῖδας πάσας αὐτοῖς ἀνῆκεν, ἐπί τε τὴν πορείαν ἐξήγαγεν· οὐ πολὺ δ᾽ ἀφειστήκει τὸ χωρίον, ἔνθα ἐσκήνου ὁ Ἀλέξανδρος καὶ οἱ σὺν αὐτῷ.

9. Ὡς δ᾽ ἀπηγγέλη τὰ περὶ τοῦ Μαξιμίνου, ὁ Ἀλέξανδρος ἐν μεγίστῃ ταραχῇ γενόμενος, καὶ τῷ παραδόξῳ τῆς ἀγγελίας ἐκπλαγείς, προπηδήσας τῆς βασιλείου σκηνῆς ὥςπερ ἐνθουσιῶν, δακρυῤῥοῶν καὶ τρέμων, τοῦ τε Μαξιμίνου ὡς ἀπίστου καὶ ἀχαρίστου κατηγόρει, πάσας τὰς εἰς ἐκεῖνον εὐεργεσίας κατατεθείσας πρὸς αὐτοῦ διηγούμενος. τούς τε νεανίας συστρατιώτας ᾐτιᾶτο, ὡς προπετῶς καὶ ἐπιόρκως ταῦτα τετολμηκότας· δώσειν τε πάντα ὑπισχνεῖτο ὧν δέοιντο, καὶ ἐπανορθώσεσθαι εἴ τι μέμφοιντο. οἱ δὲ σὺν αὐτῷ στρατιῶται, ἐκείνης τῆς ἡμέρας εὐφημήσαντες αὐτὸν παρέπεμψαν, ὑποσχόμενοι παντὶ σθένει προασπίσειν αὐτοῦ. τῆς νυκτὸς δὲ διαδραμούσης, κατὰ τὸ περίορθρον ἀγγειλάντων τινῶν, ὅτι δὴ Μαξιμῖνος πρόσεισι, κόνις τε πόῤῥωθεν ἐγειρομένη φαίνεται, βοῆς τε ἦχος πλήθους ἐξακούεται, πάλιν προελθὼν ἐς τὸ πεδίον ὁ Ἀλέξανδρος, συγκαλέσας τε τοὺς στρατιώτας, ἐδεῖτο προμαχεῖν, καὶ σώζειν ὃν ἀνεθρέψαντο, καὶ ὑφ᾽ ᾧ βασιλεύοντι τεσσαρεςκαίδεκα ἔτεσιν, ἀμέμπτως βεβιώκεσαν· πάντας τε εἰς οἶκτον καὶ ἔλεον προκαλούμενος, ἐκέλευεν ὁπλίζεσθαι, καὶ ἐξελ-

---

22) er zog die künftige Gefahr der gegenwärtigen vor. —

θόντας ἀντιτάττεσθαι. οἱ δὲ στρατιῶται τὰ μὲν πρῶτα ὑπισχνοῦντο, κατ᾽ ὀλίγους [23]) δὲ ἀνεχώρουν, οὐδ᾽ ὅπλα λαβεῖν ἤθελον. οἱ δέ τινες τὸν ἔπαρχόν τε τοῦ στρατοῦ καὶ τοὺς οἰκείους Ἀλεξάνδρου ᾔτουν πρὸς ἀναίρεσιν, πρόφασιν ποιούμενοι, αἰτίους τῆς ἀποστάσεως γεγενῆσθαι. οἱ δὲ τὴν μητέρα ἐμέμφοντο ὡς φιλάργυρον, καὶ τὰ χρήματα ἀποκλείουσαν [24]) διά τε μικρολογίαν καὶ τὸ πρὸς τὰς ἐπιδόσεις ὀκνηρὸν τοῦ Ἀλεξάνδρου μεμισημένου. καὶ μέχρι μέν τινος [25]) τοιαῦτα διαφόρως βοῶντες προσέμενον· ὡς δὲ τοῦ Μαξιμίνου ὁ στρατὸς ἤδη τε ἐν ὄψεσιν ἦν, καὶ βοῶντες οἱ νεανίαι προὐκαλοῦντο τοὺς συστρατιώτας, καταλιπεῖν μὲν γύναιον μικρολόγον, καὶ μειράκιον μικρὸν μητρὶ δουλεῦον, προσιέναι δὲ ἀνδρὶ γενναίῳ καὶ σώφρονι, συστρατιώτῃ τε, ἐν ὅπλοις ἀεὶ καὶ πολεμικοῖς ἔργοις διῃτημένῳ· πεισθέντες οἱ στρατιῶται, τὸν μὲν Ἀλέξανδρον καταλείπουσιν, αὐτοὶ δὲ προσίασι τῷ Μαξιμίνῳ· αὐτοκράτωρ τε ὑπὸ πάντων ἐκεῖνος ἀναγορεύεται. ὁ δὲ Ἀλέξανδρος, τρέμων καὶ λειποψυχῶν, μόλις εἰς τὴν σκηνὴν ἐπανέρχεται· τῇ τε μητρὶ περιπλακείς, καί, ὥς φασιν, ἀποδυρόμενός τε καὶ αἰτιώμενος ὅτι δι᾽ ἐκείνην ταῦτα πάσχει, ἀνέμενε τὸν φονεύσοντα. ὁ δὲ Μαξιμῖνος ὑπὸ παντὸς τοῦ στρατοῦ Σεβαστὸς προσαγορευθείς, πέμπει χιλίαρχην, ἑκατοντάρχας τέ τινας τοὺς φονεύσοντας τὸν Ἀλέξανδρον καὶ τὴν μητέρα, καὶ εἴ τινες ἀνθίσταντο τῶν σὺν αὐτῷ. οἱ δὲ ἀφικόμενοι καὶ ἐπιπηδήσαντες τῇ σκηνῇ, αὐτόν τε ἀναιροῦσι καὶ τὴν μητέρα, καὶ εἴ τινες ἐδόκουν ἐκείνῳ φίλοι καὶ τίμιοι· πλὴν τῶν πρὸς ὀλίγον [26]) φυγεῖν ἢ λαθεῖν δυνηθέντων, οὓς πάντας μετ᾽ οὐ πολὺ Μαξιμῖνος συλλαβὼν ἀπέκτεινε.

Τέλος μὲν δὴ [27]) τοιοῦτον κατέλαβε τὸν Ἀλέξανδρον καὶ τὴν μητέρα, βασιλεύσαντα ἔτεσι τεσσαρεσκαίδεκα, ὅσον πρὸς τοὺς ἀρχομένους, ἀμέμπτως καὶ ἀναιμωτί. φόνων τε γὰρ καὶ ὠμότητος, ἀκρίτων τε ἔργων ἀλλότριος ἐγένετο, εἴς τε τὸ φιλάνθρωπον καὶ εὐεργετικώτερον ἐπιῤῥεπής. πάνυ γοῦν ἂν ἡ Ἀλεξάνδρου βασιλεία εὐδοκίμησεν εἰς τὸ ὁλόκληρον, εἰ μὴ διεβέβλητο αὐτῷ τὰ τῆς μητρὸς εἰς φιλαργυρίαν τε καὶ μικρολογίαν.

---

23) paulatim, seu potius: pauci simul secedebant. Vig. p. 636. not. 10. — 24) weil Alexander wegen. — 25) aliquamdiu cf. Vig. p. 419, III. — 26) paulo ante. — 27) hunc exitum quidem (μὲν δὴ) habuerunt. cf. Vig. p. 537. not. 76. —

Bayerische StaatsBibliothek
Münchener DigitalisierungsZentrum Digitale Bibliothek

Eisenschmid, Leonhard Martin,

Deutsch-griechisches und griechisch-deutsches Lesebuch

Bd.: 2

Passau (1824)

L.gr. 82 o-1/3
urn:nbn:de:bvb:12-bsb10796411-7